ISOCRATIS ORATIONES TRES,

CVM INTERPRETATIONE Latina, ad verbum addita, ad diſcentium vtilitatem.

Ad Demonicum, de moribus adoleſcentium.
Ad Nicoclem Cypri Regem, de Principum inſtitutione.
Nicocles, de Principum & ſubditorum officio.

Οὐ βλάπτει, αὐτὰρ τοὺς ναυτίλλοντας ἐγείρει

Τῆς σοφίας περόωσι θαρσαλέως πελάγη.

MAiore mihi ingenio videtur Isocrates esse, quàm vt cum orationibus Lysiæ comparetur. Præterea ad uirtutem maior indoles: vt minus mirum futurum sit, si cum ætate processerit, aut in hoc orationum genere, cui nunc studet, tantum, quantum pueris reliquis præstet omnibus, qui unquã orationes attigerũt: aut si contentus his non fuerit, diuino ali quo animi motu maiora cõcupiscat. Inest enim natura philosophia in huius viri mẽ te quædam.

Ex oratore & Bruto Ciceronis.

ECce ibi exortus est Isocrates, cuius è ludo tamquam ex equo Troiano innumeri principes exierunt. Huius enim domus cunctæ Græciæ qua si ludus quidam patuit atque officina di cendi. magnus orator, & perfectus magi ster ĩtra pariẽtes aluit eam gloriam, quàm nemo quidem meo iudicio est postea con secutus. is & ipse scripsit multa præclare. & docuit alios.

HAs orationes Isocratis in gratiam eorum qui nunc primum literis græcis imbui cupiũt, latinitate donauit ĩterpres, vt etiam qui carent à quo instituantur, per se ipsos tamen discere legendo possint. Et quoniam idiomatum varietas moram discentibus afferre consueuit, semper enim quippiam inusitatum occurrit hæretibus, ideo quoad licuit, vtriusque sermonis dissimilitudines euitabit, & nomina greca totidem latinis repręsentauit, ꝓprietatemq; vocabulorum sanius, numeros etiam ꝑsonas, ætates. & constructionis modos retinuit, quasi uiua voce res ageretur. sic enim ad Græcas literas ediscẽdas faciliorem saltem uiam fore existimauit. Cur autem vel has reliquis orationibus, vel hunc cæteris autoribus prætulerit, in causa fuit, tum attici sermonis elegãtia, quæ precipue in hoc scriptore cõspicua est, tum mores optimi, qui tribus his orationibus cõtinentur. Itaque quisquis libellum hunc familiarem sibi faciet, non solum elocutionis græcæ splendorem assequetur, uerum etiam saluberrima ciuilis uitæ præcepta sibi comparauit. Vale.

ISOCRATIS AD DEMONICVM ORATIO ADMONITORIA.

IN multis quidē ò Demonice multū differentes inueniemus & studiosorum sententias, & malorum cogitationes, multo vero maximā differentiam assumpserunt in mutuis consuetudinibus. Hi siquidem amicos præsentes solum honorant: hi vero & longe absentes amant. Ac malorum quidem consuetudines exiguum tempus dissoluit, bonorum vero amicitias, neque omnis ætas delere potest. Existimans igitur decere gloriam appetentes, & eruditionem vendicantes, bonorum, sed non malorum esse imitatores, misi tibi hanc orationem munus, argumentū quidē erga nos amicitiæ, signum autem erga Hipponicum consuetudinis. decet enim filios velut substantiæ, sic & amicitię paternę hæredes esse. Video autem & fortunam nobis auxiliantem, & præsentem occasionem coadiuuantem. tu siquidem eruditionem cupis, ego autem erudire alios nitor: & tu quidem strenue philosopharis, ergo vero philosophantes dirigo. Quicunque igitur ad suos

Ι'ΣΟ-

ΙΣΟΚΡΑΤΟΥΣ ΠΡΟΣ ΔΗΜΟΝΙΚΟΝ ΛΟΓΟΣ ΠΑΡΑΙΝΕΤΙΚΟΣ.



Ν πολλοῖς μὲν ὦ Δημόνικε πολὺ διεστώσας εὑρήσομεν τάς τε τῶν σπουδαίων γνώμας, καὶ τὰς τῶν φαύλων διανοίας. πολὺ δὲ μεγίστην διαφορὰν εἰλήφασιν ἐν ταῖς πρὸς ἀλλήλους συνηθείαις. οἱ μὲν γὰρ τοὺς φίλους παρόντας μόνον τιμῶσιν, οἱ δὲ καὶ μακρὰν ἀπόντας ἀγαπῶσι. καὶ τὰς μὲν τῶν φαύλων συνηθείας ὀλίγος χρόνος διέλυσε, τὰς δὲ τῶν σπουδαίων φιλίας, οὐδ᾽ ἂν ὁ πᾶς αἰὼν ἐξαλείψειεν. ἡγούμενος οὖν πρέπειν τοὺς δόξης ὀρεγομένους, καὶ παιδείας ἀντιποιουμένους, τῶν σπουδαίων, ἀλλὰ μὴ τῶν φαύλων εἶναι μιμητάς, ἀπέσταλκά σοι τὸν δὲ τὸν λόγον δῶρον, τεκμήριον μὲν τῆς πρὸς ἡμᾶς φιλίας, σημεῖον δὲ τῆς πρὸς Ἱππόνικον συνηθείας. πρέπει γὰρ τοὺς παῖδας, ὥσπερ τῆς οὐσίας, οὕτω καὶ τῆς φιλίας τῆς πατρικῆς κληρονομεῖν. ὁρῶ δὲ καὶ τὴν τύχην ἡμῖν συλλαμβάνουσαν, καὶ τὸν παρόντα καιρὸν συναγωνιζόμενον, σὺ μὲν γὰρ παιδείας ἐπιθυμεῖς, ἐγὼ δὲ παιδεύειν ἄλλους ἐπιχειρῶ. καὶ σὺ μὲν ἀκμὴν φιλοσοφεῖς, ἐγὼ δὲ τοὺς φιλοσοφοῦντας ἐπανορθῶ. ὅσοι μὲν οὖν πρὸς τοὺς ἑαυτῶν

amicos exhortatoris orationes conscribunt, pulchrũ quidẽ opus aggrediũtur, nõ tamẽ circa optimum philosophiæ uersantur. Quicũque uero iunioribus duces se præbent, nõ ꝑ quæ eloquentiã in orationibus exerceant, sed quomodo morum specie studiosi esse uideantur, tanto magis illis audientes iuuant, quãtum hiquidem ad orationem solũ ædhortãtur hi uero & morem ipsorum corrigunt. Quare nos non exhortationem inuenientes sed ad monitionẽ scribentes sumus tibi consulturi, q̃ oportet iuniores appetere, & à quibus operibus abstinere, & quibuscum hominibus versari & quõ suam ipsorum vitam gubernare. Quicũq;.n. uitæ hanc viam ambulauerunt, hi soli virtutem assequi legitime potuerunt, qua nulla res honestior, neque firmior est. Pulchritudinem siquidẽ vel tp̃s cõsumit, vel morbus tabefacit opulẽtia aũt improbitatis potius q̃ probitatis ministra est, licẽtiã quidẽ miseri cordiæ præparans, ad voluptates autem iuuenes exhortãs. Robur aũt cum prudẽtia quidem prodest, sine hac autem, plus habentes læsit. ac corpora quidem exercentium ornauit, animi vero meditationibus tenebras induxit. At uirtutis possessio quorum syncere cogitationibus concreuit, sola quidem consenescit. opulentia quidem melior, vtilior autem

φίλους τοὺς προτρεπτικοὺς λόγους συγγράφουσι, καλὸν μὲν ἔργον ἐπιχειροῦσιν, οὐ μὴν περί γε τὸ κράτιστον τῆς φιλοσοφίας διατρίβουσιν. ὅσοι δὲ τοῖς νεωτέροις εἰσηγοῦνται μὴ δι᾽ ὧν τὴν δεινότητα, τὴν ἐν τοῖς λόγοις, ἀσκήσουσιν, ἀλλ᾽ ὅπως τὰ τῶν τρόπων ἤθη σπουδαῖοι πεφυκέναι δόξουσι, τοσούτῳ μᾶλλον ἐκείνων τοὺς ἀκούοντας ὠφελοῦσιν, ὅσον οἱ μὲν ἐπὶ λόγον μόνον παρακαλοῦσιν. οἱ δὲ καὶ τὸν τρόπον αὐτῶν ἐπανορθοῦσι. διόπερ ἡμεῖς οὐ παράκλησιν εὑρόντες, ἀλλὰ παραίνεσιν γράψαντες, μέλλομέν σοι συμβουλεύειν, ὧν χρὴ τοὺς νεωτέρους ὀρέγεσθαι, καὶ τίνων ἔργων ἀπέχεσθαι, καὶ ποίοις τισὶν ἀνθρώποις ὁμιλεῖν, καὶ πῶς τὸν ἑαυτῶν βίον οἰκονομεῖν. ὅσοι γὰρ τοῦ βίου ταύτην τὴν ὁδὸν ἐπορεύθησαν, οὗτοι μόνοι τῆς ἀρετῆς ἐφικέσθαι γνησίως ἐδυνήθησαν, ἧς οὐδὲν κτῆμα σεμνότερον, οὐδὲ βεβαιότερόν ἐστι. κάλλος μὲν γὰρ ἢ χρόνος ἀνάλωσεν, ἢ νόσος ἐμάρανε. πλοῦτος δὲ κακίας μᾶλλον, ἢ καλοκαγαθίας ὑπηρέτης ἐστίν, ἐξουσίαν μὲν τῇ ῥαθυμίᾳ παρασκευάζων, ἐπὶ δὲ τὰς ἡδονὰς τοὺς νέους παρακαλῶν. ῥώμη δὲ μετὰ μὲν φρονήσεως ὠφέλησεν, ἄνευ δὲ ταύτης, πλείω τοὺς ἔχοντας ἔβλαψε, καὶ τὰ μὲν σώματα τῶν ἀσκούντων ἐκόσμησε, ταῖς δὲ τῆς ψυχῆς ἐπιμελείαις ἐπεσκότησεν. ἡ δὲ τῆς ἀρετῆς κτῆσις, οἷς ἂν ἀκιβδήλως ταῖς διανοίαις συναυξηθῇ, μόνη μὲν συγγηράσκει, πλούτου μὲν κρείττων, χρησιμωτέρα

nobilitate est, quæ alijs quidem impossibilia possibilia reddens, multitudini vero terribilia fidenter sustines: & segnitiem quidem vituperium, laborem aũt laudem existimans. Facile uero hoc discere est, & ex Herculis certaminibus & Thesei gestis. quibus morum virtus tantum gloriæ monumentum ipsis operibus iniecit, vt ne uniuersum quidem tempus possit obliuionem inducere ab illis factorum. Quanquam & patris tui studiorum recordatus, domesticũ ac pulchrum habebis exẽplum a me dictorum. non enim paruipendens virtutem, neque torpescens, transegit vitam. sed corpus quidem laboribus exercuit, animo autem pericula sustinuit. neque diuitias ĩtempestiuè amabat, verũ fruebatur qdẽ prȩsentibus bonis vt mortalis, curabat autem stabilia vt immortalis, neque abiectè dispensauit ipsius victum, sed & elegans erat & magnificus, & amicis communis. Et magis admirabatur sui studiosos quam genere propinquos. arbitrabatur enim esse ad societatem multo meliorem naturam lege, & morem genere, & voluntatem necessitate: Deficeret autem nos omne tempus, si omnes illius actiones dinumeraremus. sed diligenter ipsa alio tempore declarabimus. Exemplum autem Hipponici naturȩ nunc extulimus,

δὲ συγγένειά ἐστι· τὰ μὲν τοῖς ἄλλοις ἀδύνατα
δυνατὰ καθιστῶσα, τὰ δὲ τῷ πλήθει φοβερὰ
θαρσαλέως ὑπομένουσα, καὶ τὸν μὲν ὄκνον, ψό-
γον, τὸν δὲ πόνον, ἔπαινον ἡγουμένη. ῥᾴδιον δὲ
τοῦτο καταμαθεῖν ἐστιν ἔκ τε τῶν ἡρακλέους ἄθλων,
καὶ τῶν θησέως ἔργων. οἷς ἡ τῶν τρόπων ἀρετὴ
τηλικοῦτον εὐδοξίας χαρακτῆρα τοῖς ἔργοις
ἐπέβαλεν, ὥστε μηδὲ τὸν ἅπαντα χρόνον δύ-
νασθαι λήθην ἐμποιῆσαι τῶν ἐκείνοις πεπραγμέ-
νων. οὐ μὴν ἀλλὰ καὶ τὰς τοῦ πατρὸς προαιρέ-
σεις ἀναμνησθεὶς, οἰκεῖον καὶ καλὸν ἕξεις παρά-
δειγμα τῶν ὑπ' ἐμοῦ λεγομένων. οὐδὲ γὰρ ὀλι-
γωρῶν τῆς ἀρετῆς, οὐδὲ ῥᾳθυμῶν, διετέλεσε τὸν
βίον, ἀλλὰ τὸ μὲν σῶμα τοῖς πόνοις ἐγύμναζε,
τῇ δὲ ψυχῇ τοὺς κινδύνους ὑπέμενεν. οὐδὲ τὸν
πλοῦτον παρακαίρως ἠγάπα. ἀλλ' ἀπήλαυε μὲν
τῶν παρόντων ἀγαθῶν, ὡς θνητὸς, ἐπεμελεῖτο δὲ
τῶν ὑπαρχόντων, ὡς ἀθάνατος. οὐδὲ ταπεινῶς
διῴκει τὸν ἑαυτοῦ βίον, ἀλλὰ φιλόκαλός τε ἦν
καὶ μεγαλοπρεπὴς, καὶ τοῖς φίλοις κοινός. καὶ
μᾶλλον ἐταύμαζε τοὺς περὶ αὑτὸν σπουδάζον-
τας, ἢ τοὺς τῷ γένει προσήκοντας. ἡγεῖτο γὰρ
εἶναι πρὸς ἑταιρείαν πολλῷ κρείττω φύσιν νόμου,
καὶ τρόπον γένους, καὶ προαίρεσιν ἀνάγκης. ἐπιλί-
ποι δ' ἂν ἡμᾶς ὁ πᾶς χρόνος, εἰ πάσας τὰς ἐκεί-
νου πράξεις καταριθμησαίμεθα. ἀλλὰ τὸ μὲν ἀκρι-
βὲς αὐτῶν ἐν ἑτέροις καιροῖς δηλώσομεν. δεῖγ-
μα δὲ τῆς ἱππονίκου φύσεως νῦν ἐξενηνόχαμεν.

ad quod oportet uiuere te, tanqam ad exemplar. legem quidem illius morem existimantem, imitatorem uero & æmulũ paternę uirtutis factum. Turpe enim est pictores quidem effingere pulchra animalia, filios autem non imitari studiosos parentes. Arbitror autem nulli athletarum sic conuenire aduersus concertatores se exercere, ut tibi considerare quomodo sectator fias patris studiorum. Ita vero animum impossibile est disponere q nõ multis & pulchris auscultationibus plenus sit. corpora siquidem moderatis laboribus, anima uero studiosis orationibus augetur. Quamobrem ego tibi tentabo breuiter admouere, per quæ mihi videaris studia plurimum ad uirtutem proficere, & apud alios omnes homines commendari. Primum igitur venerare quę ad deos attinent, nõ solũ sacrificans sed & iuramenta seruans. illud enim pecuniarum copiæ signum, hoc autem morum probitatis indicium est. Honora diuina, semper quidẽ, præcipue uero cũ ciuitate. sic enim uideberis simul & dijs sacrificare, & leges seruare. Talis sis ergo parentes, quales optares erga te fore tuos filios. Exerce ea corporis exercitia non quæ ad vires, sed quæ ad sanitatem conferant. hoc autem assequeris

πρὸς ὃ δεῖ ζῆν σε, ὥσπερ πρὸς παράδειγμα, νόμον μὲν τὸν ἐκείνου τρόπον ἡγησάμενον, μιμητὴν δὲ καὶ ζηλωτὴν τῆς πατρῴας ἀρετῆς γενόμενον. αἰσχρὸν γὰρ τοὺς μὲν γραφεῖς ἀπεικάζειν τὰ καλὰ τῶν ζώων, τοὺς δὲ παῖδας μὴ μιμεῖσθαι τοὺς σπουδαίους τῶν γονέων. ἡγοῦμαι δὲ μηδενὶ τῶν ἀθλητῶν οὕτω προσήκειν πρὸς τοὺς ἀνταγωνιστὰς ἀσκεῖν, ὡς σοὶ σκοπεῖν, ὅπως ἐφάμιλλος γενήσῃ τοῖς τοῦ πατρὸς ἐπιτηδεύμασιν. οὕτω δὲ τὴν γνώμην ἀδύνατον διατεθῆναι, τὸν μὴ πολλῶν καὶ καλῶν ἀκουσμάτων πεπληρωμένον. τὰ μὲν γὰρ σώματα τοῖς συμμέτροις πόνοις, ἡ δὲ ψυχὴ τοῖς σπουδαίοις λόγοις αὔξεσθαι πέφυκε. διόπερ ἐγώ σοι πειράσομαι συντόμως ὑποθέσθαι, δι' ὧν ἄν μοι δοκοίης ἐπιτηδευμάτων πλεῖστον πρὸς ἀρετὴν ἐπιδοῦναι, καὶ παρὰ τοῖς ἄλλοις ἅπασιν ἀνθρώποις εὐδοκιμῆσαι. πρῶτον μὲν οὖν εὐσέβει τὰ πρὸς τοὺς θεούς, μὴ μόνον θύων, ἀλλὰ καὶ τοῖς ὅρκοις ἐμμένων. ἐκεῖνο μὲν γὰρ τῆς τῶν χρημάτων εὐπορίας σημεῖον, τοῦτο δὲ, τῆς τῶν τρόπων καλοκαγαθίας τεκμήριον. τίμα τὸ δαιμόνιον, ἀεὶ μὲν, μάλιστα δὲ μετὰ τῆς πόλεως. οὕτω γὰρ δόξεις ἅμα τε τοῖς θεοῖς θύειν, καὶ τοῖς νόμοις ἐμμένειν. τοιοῦτος γίνου περὶ τοὺς γονεῖς, οἵους ἂν εὔξαιο περὶ σεαυτὸν γενέσθαι τοὺς σεαυτοῦ παῖδας. ἄσκει τῶν περὶ τὸ σῶμα γυμνασίων, μὴ τὰ πρὸς τὴν ῥώμην, ἀλλὰ τὰ πρὸς τὴν ὑγίειαν συμφέροντα. τούτου δ' ἂν ἐπιτυγχάν-

si de-

si desinas à laboribus adhuc laborare valēs. neq; risum solutum ama, neq; sermonem cū temeritate suscipe. nam illud stolidum, hoc furiosum est. Quæ facere turpe est, hæc puta neque dicere esse pulchrū. Assuesce teipsum esse nō vultu rigidum, sed grauem. ob illud .n. contumax, ob hoc aūt prudens esse videberis. Existima precipue tibi cōuenire hunc ornatū, verecundiam, iustitiam, modestiam: his enim vniuersis videtur contineri iuniorum mos. Nunquam quicquan turpe faciēs spera occultum fore. nam vt alios lateas tibi ipsi conscius eris. Deos quidem time, parentes autem honora, amicos autem uereare, legibus vero obtempera. Voluptates sectare quæ cū gloria sint, delectatio quippe cum honesta te quidem, optima, sine ipsa vero pessima. Vita calumnias, etiam si falsæ sint. nam vulgus veritatem quidem ignorat, ad famā aūt respicit. Omnia videare facere tāquam neminem lateas: licet enim tunc lateas, post tamen conspicieris. Maximè vero commendaberis, si videaris ea non faciens, quę alijs facientibus obiurgares. Si cupidus discendi fueris, multa disces. Quæ quidem didicisti conserua meditationibus. quæ vero non didicisti, assume scientijs. Similiter .n. turpe est, audiētem vtilem sermonem non discere, & datum aliquod bonum ab amicis non accipere. Consume

vois,

τοῖς, εἰ λήγεις τῶν πόνον ἔτι πονεῖν δυνάμενος. μήτε γέλωτα προπετῆ στέργε, μήτε λόγον μετὰ θράσους ἀποδέχου. τὸ μὲν γὰρ, ἀνόητον, τὸ δὲ, μανικόν. ἃ ποιεῖν αἰσχρὸν, ταῦτα νόμιζε μηδὲ λέγειν εἶναι καλόν. ἔθιζε σεαυτὸν εἶναι μὴ σκυθρωπὸν, ἀλλὰ σύννουν. δι' ἐκεῖνο μὲν γὰρ αὐθάδης, διὰ δὲ τοῦτο φρόνιμος εἶναι δόξεις. ἡγοῦ μάλιστα σεαυτῷ πρέπειν, κόσμον, αἰσχύνην, δικαιοσύνην, σωφροσύνην. τούτοις γὰρ ἅπασι δοκεῖ κρατεῖσθαι τὸ τῶν νεωτέρων ἦθος. μηδέποτε μηδὲν αἰσχρὸν ποιήσας ἔλπιζε λήσειν: καὶ γὰρ ἂν τοὺς ἄλλους λάθῃς, σαυτῷ συνειδήσεις. τοὺς μὲν θεοὺς φοβοῦ, τοὺς δὲ γονεῖς τίμα, τοὺς δὲ φίλους αἰσχύνου, τοῖς δὲ νόμοις πείθου. τὰς ἡδονὰς θήρευε, τὰς μετὰ δόξης. τέρψις γὰρ σὺν τῷ καλῷ μὲν, ἄριστον, ἄνευ δὲ τούτου, κάκιστον. εὐλαβοῦ τὰς διαβολὰς κἂν ψευδεῖς ὦσιν. οἱ γὰρ πολλοὶ τὴν μὲν ἀλήθειαν ἀγνοοῦσιν, πρὸς δὲ τὴν δόξαν ἀποβλέπουσιν. ἅπαντα δόκει ποιεῖν ὡς μηδένα λήσων. καὶ γὰρ παραυτίκα κρύψῃς, ὕστερον ὀφθήσῃ. μάλιστα δ' ἂν εὐδοκιμοίης, εἰ φαίνοιο ταῦτα μὴ πράττων. ἃ τοῖς ἄλλοις ἂν πράττουσιν ἐπιτιμώῃς. ἐὰν ᾖς φιλομαθὴς, ἔσῃ καὶ πολυμαθής. ἃ μὲν ἐπίστασαι, διαφύλαττε ταῖς μελέταις, ἃ δὲ μὴ μεμάθηκας, προσλάμβανε ταῖς ἐπιστήμαις. ὁμοίως γὰρ αἰσχρὸν ἀκούσαντα χρήσιμον λόγον μὴ μανθάνειν, καὶ διδομένον τι ἀγαθὸν παρὰ τῶν φίλων μὴ λαμβάνειν. κατανάλισκε τὴν ἐν

vitæ

vitæ otium in sermonibus audiendis. sit enim ab aliis cum difficultate inuenta continget tibi facile discere. Existima auditionum multa multis esse pecuniis meliora. nam pecuniæ celeriter deserunt, audita omne tempus permanent sapientia quippe sola possessionum immortalis. Ne graueris lōgam uiā suscipere ad docere quippiam vtile pollicentes; turpe cum sit mercatores quidem tot maria pertransire gratia amplificandi præsentem substantiam, iuniores autem ne per terram quidem iter sustinere, vt melius constituant suā ipsorum mentem. Moribus quidē sis facilis salutator, verbis autem bonus salutator. est aūt facilis quidē salutatoris appellare obuios, boni autem salutatoris verbis ipsis apte id peragere. Blandus quidem esto in omnes, vtere autem optimis, sic.n. his quidem non odiosus eris, istis autē amicus efficieris. Colloquia non crebra fas cum eisdem, nec longa de eisdem: nam omniū rerum est satietas. Exerce te laboribus uoluntariis, vt possis inuoluntarios sustinere. A quibus animum detineri turpe est, horum continentiam exerce omnium, lucri, iræ, voluptatis, tristitiæ. Eris autem talis, si lucra quidem esse putaris per quę comendaris, sed non per quæ diteris. Ita vero similiter te habeas

τῷ βίῳ σχολὴν εἰς τὴν τῶν λόγων φιληκοΐαν. οὕτω γὰρ τὰ τοῖς ἄλλοις χαλεπῶς εὑρημένα συμβήσεταί σοι ῥᾳδίως μανθάνειν. ἡγοῦ τῶν ἀκουσμάτων πολλὰ πολλῶν εἶναι χρημάτων κρείττω· τὰ μὲν γὰρ ταχέως ἀπολείπει, τὰ δὲ πάντα τὸν χρόνον παραμένει. σοφία γὰρ μόνη τῶν κτημάτων ἀθάνατον. μὴ κατόκνει μακρὰν ὁδὸν πορεύεσθαι πρὸς τοὺς διδάσκειν τι χρήσιμον ἐπαγγελλομένους. αἰσχρὸν γὰρ τοὺς μὲν ἐμπόρους τηλικαῦτα πελάγη διαπερᾶν ἕνεκα τοῦ πλείω ποιῆσαι τὴν ὑπάρχουσαν οὐσίαν, τοὺς δὲ νεωτέρους μηδὲ τὰς κατὰ γῆν πορείας ὑπομένειν, ὥστε τῷ βελτίω καταστῆσαι τὴν ἑαυτῶν διάνοιαν. τῷ μὲν τρόπῳ γίνου φιλοπροσήγορος, τῷ δὲ λόγῳ εὐπροσήγορος. ἔστι δὲ φιλοπροσηγορίας μὲν τὸ προσφωνεῖν τοὺς ἀπαντῶντας, εὐπροσηγορίας δὲ τὸ τοῖς λόγοις αὐτοῖς οἰκείως ἐντυγχάνειν. ἡδέως μὲν ἔχε πρὸς ἅπαντας, χρῶ δὲ τοῖς βελτίστοις. οὕτω γὰρ τοῖς μὲν οὐκ ἀπεχθὴς ἔσῃ, τοῖς δὲ φίλος γενήσῃ. τὰς ἐντεύξεις μὴ πυκνὰς ποιοῦ τοῖς αὐτοῖς, μηδὲ μακρὰς περὶ τῶν αὐτῶν. πλησμονὴ γὰρ ἁπάντων. Γύμναζε σεαυτὸν πόνοις ἑκουσίοις, ὅπως ἂν δύναιο καὶ τοὺς ἀκουσίους ὑπομένειν. ὑφ᾽ ὧν κρατεῖσθαι τὴν ψυχὴν αἰσχρόν, τούτων ἐγκράτειαν ἄσκει πάντων, κέρδους, ὀργῆς, ἡδονῆς, λύπης. ἔσῃ δὲ τοιοῦτος, ἂν κέρδη μὲν εἶναι νομίζῃς δι᾽ ὧν εὐδοκιμήσεις, ἀλλὰ μὴ δι᾽ ὧν εὐπορήσεις· τῇ δὲ ὀργῇ παραπλησίως ἔχῃς

aduerſus peccantes, quemadmodum aduerſus te peccantem & alios ſe habere dignum putares. In uoluptuoſis autem, ſi turpe duxeris, domeſticis quidē imperare, voluptatibus aūt ſeruire. In triſtibus autem, ſi aliorū infortunia inſpexeris, & teipſum, ꝙ homo ſis, memorem feceris. Plus ſerua verborum quàm rerum depoſita. oportet enim bonos viros morem iuramento fideliorem videri præſtare. Conuenire exiſtima malis non credere, quammodum bonis credere. De non dicendis nemini dicas, ſi tamen ſimiliter conferat eas res taceri, tibiq; dicenti, & illis audientibus. Iuſiurandum oblatum ſuſcipe duabus de cauſis, vel te à cauſa turpi liberans, vel amicos à periculo ſeruās: cauſa vero pecuniarum nullum deum iurabis, neq; ſi recte iurare debeas. videbe ris. n. alijs qdē peierare, alijs aūt cupidus pecuniarum eſſe. Neminē amicum fac, prius q̃ explores quō vſus ſit precedētibus amicis: ſpera ſi quidem eum & erga te fore talem, qualis erga illos fuit. Tarde quidem amicus fias, factus autē enitere permăcre. ſimiliter. n. turpe eſt nullum amicum habere, & multos ſodales commutare. Neque cum detrimēto experire amicum, neq; inexpertus eſſe ſociorum velis: hoc autem facies, ſi non indigens, egere ſimules, De dicendis tanq̃ arcanis communica. non aſſecutus

πρὸς

πρὸς τοὺς ἁμαρτάνοντας, ὥσπερ ἂν πρὸς σαυτὸν ἁμαρτάνοντα καὶ τοὺς ἄλλους ἔχειν ἀξιώσειας. ἐν δὲ τοῖς τερπνοῖς, ἂν αἰσχρὸν ὑπολάβῃ, τῶν μὲν οἰκετῶν ἄρχειν, ταῖς δ' ἡδοναῖς δουλεύειν. ἐν δὲ τοῖς λυπηροῖς, ἂν τὰς τῶν ἄλλων ἀτυχίας ἐπιβλέπῃς, καὶ σεαυτὸν ὡς ἄνθρωπος ὢν ὑπομιμνήσκῃς. μᾶλλον τήρει τὰς τῶν λόγων, ἢ τὰς τῶν χρημάτων παρακαταθήκας. δεῖ γὰρ τοὺς ἀγαθοὺς ἄνδρας τρόπον ὅρκου πιστότερον φαίνεσθαι παρεχομένους. προσήκειν ἡγοῦ τοῖς πονηροῖς ἀπιστεῖν, ὥσπερ τοῖς χρηστοῖς πιστεύειν. περὶ τῶν ἀπορρήτων μηδενὶ λέγε, πλὴν ἐὰν ὁμοίως ξυμφέρῃ τὰς πράξεις σιωπᾶσθαί σοί τε τῷ λέγοντι, κἀκείνοις τοῖς ἀκούουσιν. ὅρκον ἐπακτὸν προσδέχου διὰ δύο προφάσεις, ἢ σεαυτὸν αἰτίας αἰσχρᾶς ἀπολύων, ἢ φίλους ἐκ κινδύνων διασώζων. ἕνεκα δὲ χρημάτων μηδένα θεὸν ὀμόσῃς, μηδ' ἂν εὐορκεῖν μέλλῃς. δόξεις γὰρ τοῖς μὲν ἐπιορκεῖν, τοῖς δὲ φιλοχρημάτως ἔχειν. μηδένα φίλον ποιοῦ, πρὶν ἂν ἐξετάσῃς, πῶς κέχρηται τοῖς πρότερον φίλοις. ἔλπιζε γὰρ αὐτὸν, καὶ περὶ σὲ γενέσθαι τοιοῦτον, οἷος καὶ περὶ ἐκείνους γέγονε. βραδέως μὲν φίλος γίνου, γινόμενος δὲ, πειρῶ διαμένειν. ὁμοίως γὰρ αἰσχρὸν μηδένα φίλον ἔχειν, καὶ πολλοὺς ἑταίρους μεταλλάττειν. μήτε μετὰ βλάβης πειρῶ τῶν φίλων, μήτε ἄπειρος εἶναι τῶν ἑταίρων θέλε. τοῦτο δὲ ποιήσεις, ἂν μὴ δεόμενος, τὸ δεῖσθαι προσποιῇ. περὶ τῶν ῥητῶν, ὡς ἀπορρήτων ἀνακοίνου, μὴ τυχὼν μὲν

enim nihil lederis, assecutus autẽ magis morem ipsorum scies. Experiare amicos, & ex vitæ infortunis, & ex periculorum societate: siquidem aurum in igne probamus, amicos autem in calamitatibus digno scimus. Sic autem optime vteris amicis, si non expectes illorum preces, sed vltro in opportunitatibus ipsis auxilieris. Similiter turpe iudica inimicorum vinci maleficijs, & amicorum superari beneficijs. Admitte sociorum non solum in malis ægreferentes, sed & in bonis non inuidentes. multi quippe oppressis amicis condolent, bene vero agentibus inuident. Absentium amicorum mentionem fac ad præsentes: vt videaris, neque horum absentium curã non habere: Esse velis circa vestitũ elegans, non lasciuus: est enim elegantis quidem quod deceat, lasciui autem quod excedat. Ama præsentium bonorum non excedentem acquisitionem, sed moderatam fruitionem. Despice diuitijs incumbentes, vti vero præsentibus non valentes, similia namque tales patiuntur uelut siquis equum compararet bonum, male equitare sciẽs. Enitere diuitias, pecunias, & possessiones comparare. sunt autem pecuniæ quidem vti valentibus, possessiones autem frui scientibus

γὰρ οὐδὲν βλαβήσῃ, τυχὼν δὲ μᾶλλον τὸν τρόπον αὐτῶν ἐπιστήσῃ. δοκίμαζε τοὺς φίλους ἔκ τε τῆς περὶ τὸν βίον ἀτυχίας, καὶ τῆς ἐν τοῖς κινδύνοις κοινωνίας. τὸ μὲν γὰρ χρυσίον ἐν τῷ πυρὶ δοκιμάζομεν, τοὺς δὲ φίλους ἐν ταῖς ἀτυχίαις διαγινώσκομεν. οὕτω δ᾽ ἂν ἄριστα χρήσῃ τοῖς φίλοις, ἂν μὴ περιμένῃς τὰς παρ᾽ ἐκείνων δεήσεις, ἀλλ᾽ αὐτεπάγγελτος ἐν τοῖς καιροῖς αὐτοῖς βοηθῇς. ὁμοίως αἰσχρὸν νόμιζε τῶν ἐχθρῶν νικᾶσθαι ταῖς κακοποιίαις, καὶ τῶν φίλων ἡττᾶσθαι ταῖς εὐεργεσίαις. ἀποδέχου τῶν ἑταίρων, μὴ μόνον τοὺς ἐπὶ τοῖς κακοῖς δυσχεραίνοντας, ἀλλὰ καὶ τοὺς ἐπὶ τοῖς ἀγαθοῖς μὴ φθονοῦντας. πολλοὶ μὲν γὰρ ἀτυχοῦσι τοῖς φίλοις συνάχθονται, καλῶς δὲ πράττουσι φθονοῦσι. τῶν ἀπόντων φίλων μέμνησο πρὸς τοὺς παρόντας, ἵνα δοκῇς μηδὲ τούτων ἀπόντων ὀλιγωρεῖν. εἶν βούλου τὰ περὶ τὴν ἐσθῆτα φιλόκαλος, ἀλλὰ μὴ καλλωπιστής, ἔστι γὰρ φιλοκάλου μὲν τὸ μεγαλοπρεπές, καλλωπιστοῦ δὲ τὸ περίεργον. ἀγάπα τῶν ὑπαρχόντων ἀγαθῶν μὴ τὴν ὑπερβάλλουσαν κτῆσιν, ἀλλὰ τὴν μετρίαν ἀπόλαυσιν. καταφρόνει τῶν περὶ τὸν πλοῦτον σπουδαζόντων, χρῆσθαι δὲ τοῖς ὑπάρχουσι μὴ δυναμένων. παραπλήσιον γὰρ οἱ τοιοῦτοι πάσχουσιν, ὥσπερ ἂν εἴ τις ἵππον κτήσαιτο καλόν, κακῶς ἱππεύειν ἐπιστάμενος. πειρῶ τὸν πλοῦτον χρήματα καὶ κτήματα κατασκευάζειν. ἔστι δὲ χρήματα μὲν, τοῖς χρῆσθαι δυναμένοις, κτήματα δὲ τοῖς ἀπολαύειν ἐπισταμέ-

Appretia præsentem substãtiam duorum eam, & vt magnam iacturam redimas, & ut amico studioso misero auxilieris: ad alium autem vitæ vsum nihil immodicè, sed moderatè ipsam ama. Dilige quidem præsentia, sed quære meliora. Nulli calamitatẽ exprobraueris, cõmũis.n. est fortuna, & futurũ inuisibile. Bonis benefac, pulcher enim thesaurus est, quæ a uiro bono gratia debetur. Malis benefaciens similia patieris alienas canes pascentibus, nam & illæ exhibentes, vt quosuis alios, latratibus prosequũtur: & mali, iuuantes, vt nocentes iniuria afficiunt. Odio habe adulantes sicut decipientes, vtrique enim fidem nacti, credentes iniuria afficiunt. Si susceperis amicos in minimis etiam tibi gratificantes, non habebis in vita, qui in optimis inimicus sit. Sis erga accedentes affabilis, sed non austerus: horum etenim despicientem tumorem vix serui tolerant, illorum vero affabilem morem, cuncti libenter sustinent. Affabilis aũt eris, si nõ contentiosus fueris, neq; implacidus, neque ad omnia peruicax, neque appropinquantium indignationibus aspere occurrens, neque si iniuste irati fuerint, sed iratis quidem ipsis cedens, desistentes autem ab ira increpans: neque si in ridiculis, serijs, neque si in serijs, ridiculis gaudens.

νοις, τίμα τὴν ὑπάρχουσαν οὐσίαν δυεῖν ἕνεκα, τοῦ τε ζημίαν μεγάλην ἐκτῖσαι, καὶ τοῦ φίλῳ σπουδαίῳ δυστυχοῦντι βοηθῆσαι. πρὸς δὲ τὸν ἄλλον βίον μηδὲν ὑπερβαλλόντως, ἀλλὰ μετρίως αὐτὴν ἀγάπα. στέργε μὲν τὰ παρόντα, ζήτει δὲ τὰ βελτίω. μηδενὶ συμφορὰν ὀνειδίσῃς. κοινὴ γὰρ ἡ τύχη, καὶ τὸ μέλλον ἀόρατον. τοὺς ἀγαθοὺς εὖ ποίει. καλὸς γὰρ θησαυρὸς παρὰ ἀνδρὶ σπουδαίῳ χάριν ὀφειλομένη. κακοὺς εὖ ποιῶν, ὅμοια πείσῃ τοῖς τὰς ἀλλοτρίας κύνας σιτίζουσιν, ἐκεῖναί τε γὰρ τοὺς διδόντας, ὥσπερ τοὺς τυχόντας ὑλακτοῦσιν, οἵ τε κακοὶ τοὺς ὠφελοῦντας, ὥσπερ τοὺς βλάπτοντας ἀδικοῦσι. μίσει τοὺς κολακεύοντας, ὥσπερ τοὺς ἐξαπατῶντας, ἀμφότεροι γὰρ πιστευθέντες τοὺς πιστεύοντας ἀδικοῦσιν. ἐὰν ἀποδέχῃ τῶν φίλων τοὺς πρὸς τὸ φαυλότατόν σοι χαριζομένους, οὐκ ἕξεις ἐν τῷ βίῳ τοὺς πρὸς τὸ βέλτιστον ἀπεχθανομένους. γίγνου πρὸς τοὺς πλησιάζοντας ὁμιλητικός, ἀλλὰ μὴ σεμνός. τῶν μὲν γὰρ τὸν ὑπεροπτικὸν ὄγκον μόλις ἂν οἱ δοῦλοι καρτερήσειαν, τῶν δὲ τὸν ὁμιλητικὸν τρόπον ἅπαντες ἡδέως ὑποφέρουσιν. ὁμιλητικὸς δὲ ἔσῃ μὴ δύσερις ὤν, μὴ δὲ δυσάρεστος, μὴ δὲ πρὸς πάντα φιλόνεικος, μὴ δὲ πρὸς τὰς τῶν πλησιαζόντων ὀργὰς τραχέως ἀπαντῶν, μὴ δ' ἂν ἀδίκως ὀργιζόμενοι τυγχάνωσιν. ἀλλὰ θυμουμένοις μὲν αὐτοῖς εἴκων, πεπαυμένοις δὲ τῆς ὀργῆς ἐπιπλήττων. μὴ δὲ παρὰ τὰ γελοῖα σπουδάζων, μὴ δὲ παρὰ τὰ σπουδαῖα τοῖς γελοίοις χαι-

ρῶν. τὸ γὰρ ἄκαιρον πανταχοῦ λυπηρόν. μὴ δὲ τὰς χάριτας ἀχαρίστως χαρίζομενον. ὅπερ πάσχουσιν οἱ πολλοὶ, ποιοῦντες μὲν, ἀηδῶς δὲ τοῖς φίλοις ὑπουργοῦντες. μὴ δὲ φιλαίτιος ὤν, βαρὺ γάρ. μὴ δὲ φιλεπιτιμητὴς, παροξυντικὸν γάρ. Μάλιστα μὲν εὐλαβοῦ τὰς ἐν τοῖς πότοις συνουσίας. ἂν δέ ποτέ σοι συμπέσῃ καιρὸς, ἐξανίστασο πρὸ μέθης. ὅταν γὰρ ὁ νοῦς ὑπὸ οἴνου διαφθαρῇ, ταὐτὰ, πάσχει τοῖς ἅρμασι, τοῖς τοὺς ἡνιόχους ἀποβάλλουσιν. ἐκεῖνά τε γὰρ ἀτάκτως φέρεται διαμαρτάνοντα τῶν εὐθυνούντων. ἥ τε ψυχὴ πολὰ σφάλλεται, διαφθαρείσης τῆς διανοίας. ἀθάνατα μὲν φρόνει, τῷ μεγαλόψυχος εἶναι, θνητὰ δὲ, τῷ συμμέτρως τῶν ὑπαρχόντων ἀπολαύειν. ἡγοῦ τὴν παιδείαν τοσούτῳ μεῖζον ἀγαθὸν εἶναι τῆς ἀπαιδευσίας, ὅσῳ τὰ μὲν ἄλλα μοχθηρὰ πάντες κερδαίνοντες πράττουσιν, αὕτη δὲ μόνη καὶ προσεζημίωσε τοὺς ἔχοντας. πολλάκις γὰρ οὓς τοῖς λόγοις ἐλύπησαν, τούτῳ τοῖς ἔργοις τὴν τιμωρίαν ἔδοσαν. οὓς ἂν βούλῃ ποιήσασθαι φίλους, ἀγαθόν τι λέγε περὶ αὐτῶν πρὸς τοὺς ἀπαγγέλλοντας. ἀρχὴ μὲν γὰρ φιλίας ἔπαινος, ἔχθρας δὲ ψόγος. βουλευόμενος, παραδείγματα ποιοῦ τὰ παρεληλυθότα τῶν μελλόντων. τὸ γὰρ ἀφανὲς ἐκ τοῦ φανεροῦ ταχίστην ἔχει τὴν διάγνωσιν. βουλεύου μὲν βραδέως, ἐπιτέλει δὲ ταχέως τὰ δόξαντα. ἡγοῦ κράτιστον εἶναι, παρὰ μὲν θεῶν εὐτυχίαν, παρὰ δὲ ἡμῶν αὐτῶν εὐβουλίαν. περὶ ὧν ἂν αἰσχύνῃ παῤῥησιάσασθαι, βούλει δὲ

τισι τῶν φίλων ἀνακοινώσασθαι, χρῶ τοῖς λόγοις ὡς περὶ ἀλλοτρίου τοῦ πράγματος. οὕτω γὰρ τὴν ἐκείνων τε γνώμην αἰσθήσῃ, καὶ σεαυτὸν οὐ καταφανῆ ποιήσεις. ὅταν δὲ ὑπὲρ τῶν σεαυτοῦ μέλλῃς τινὶ συμβουλεύεσθαι, σκόπει πρότερον, πῶς ὑπὲρ τῶν αὑτοῦ διῴκησεν. ὁ γὰρ κακῶς διανοηθεὶς ὑπὲρ τῶν ἰδίων, οὐδέποτε καλῶς βουλεύσεται περὶ τῶν ἀλλοτρίων. οὕτω δ' ἂν μάλιστα βουλεύεσθαι παροξυνθείης, εἰ τὰς συμφορὰς τὰς ἐκ τῆς ἀβουλίας ἐπιβλέψεις. καὶ γὰρ τῆς ὑγιείας πλείστην ἐπιμέλειαν ἔχομεν, ὅταν τὰς λύπας τὰς ἐκ τῆς ἀῤῥωστίας ἀναμνησθῶμεν. μιμοῦ τὰ τῶν βασιλέων ἤθη καὶ δίωκε τὰ ἐκείνων ἐπιτηδεύματα. δόξεις γὰρ αὐτοὺς ἀποδέχεσθαι, καὶ ζηλοῦν, ὥστε σοι συμβήσεται παρά τε τῷ πλήθει μᾶλλον εὐδοκιμεῖν, καὶ τὴν παρ' ἐκείνων εὔνοιαν βεβαιοτέραν ἔχειν. πείθου μὲν καὶ τοῖς νόμοις τοῖς ὑπὸ τῶν βασιλέων κειμένοις, ἰσχυρότατον μέντοι νόμον ἡγοῦ τὸν ἐκείνων τρόπον, ὥσπερ γὰρ τὸν ἐν δημοκρατίᾳ πολιτευόμενον, τὸ πλῆθος δεῖ θεραπεύειν, οὕτω καὶ τὸν ἐν μοναρχίᾳ κατοικοῦντα, τὸν βασιλέα προσήκει θαυμάζειν. εἰς ἀρχὴν κατασταθεὶς μηδενὶ χρῶ πονηρῷ πρὸς τὰς διοικήσεις. ὧν γὰρ ἂν ἐκεῖνος ἁμάρτοι, σοὶ τὰς αἰτίας ἀναθήσουσιν. ἐκ τῶν κοινῶν ἐπιμελειῶν ἀπαλλάττου μὴ πλουσιώτερος ἀλλ' ἐνδοξότερος. πολλῶν γὰρ χρημάτων κρείττων ὁ παρὰ τοῦ πλήθους ἔπαινος, μηδενὶ πονηρῷ πράγματι μήτε παρίστασο, μήτε συνηγόρει. δόξεις γὰρ καὶ

ipse

ipse talia facere, qualia alijs facietib. auxiliatus fueris. Cōstitue te ipsū plura possidere valētem. tolera vero ęquale habere: vt videaris appetere iustitiam nō ob imbecillitatē, sed ob mansuetudinem: potius suscipe iustā paupertatem q̄ diuitias iniustas. tanto. n. melior iustitia pecunijs, quanto hæ quidem viuentes solum iuuant, illa uero & defunctis gloriam astruit: & illarum quidē cuiq; participatio adest, huius aūt malos impossibile est participes esse. Neminē fouc ex iniustitia lucrantium, sed potius suscipe cum iustitia damno affectos, nam iusti iniustis, si nihil aliud plus habeant, atqui spe saltem bona superant. Omniū quidē curā habe q̄ ad uitā faciūt, maxime vero tuā ipsi⁹ prudētiā exerce: maximū enim in minimo, mens bona in hominis corpore. enitere corpore quidem eſse laboriosus, animo aūt contēplatiuus: ut illo qdē peragere possis uisa, hoc autem præuidere scias vtilia. Omne quod es dicturus prius conspice mente. multis enim lingua pręcurrit cogitationem. Existima nihil esse humanum firmum: sic: n. neq; fortunat⁹ eris ultra modū lęt⁹, neq; in fortunat⁹ vltra modū tristis. Duas fac occasiones dicēdi, uel de qb. scis clare, vel de quib. necesse est dicere, in his enim solis sermo silentio melior, in alijs aūt melius est tacere q̄ loqui. Gaude quidem

αὐτὸς

αὐτὸς τοιαῦτα πράττειν, οἷάπερ ἂν τοῖς ἄλλοις πράττουσι βοηθῇς. παρασκεύαζε σεαυτὸν πλεονεκτεῖν μὲν δυνάμενον. ἀνέχου δὲ τὸ ἴσον ἔχειν. ἵνα δοκῇς ὀρέγεσθαι τῆς δικαιοσύνης μὴ δι' ἀσθένειαν, ἀλλὰ δι' ἐπιείκειαν. μᾶλλον ἀποδέχου δικαίαν πενίαν, ἢ πλοῦτον ἄδικον. τοσούτῳ γὰρ κρείττων δικαιοσύνη χρημάτων, ὅσῳ τὰ μὲν ζῶντας μόνον ὠφελεῖ, ἡ δὲ καὶ τελευτήσασι δόξαν παρασκευάζει. κἀκείνων μὲν τοῖς φαύλοις μέτεστι, ταύτης δὲ τοῖς μοχθηροῖς ἀδύνατον μεταλαβεῖν. μηδένα ζήλου τῶν ἐξ ἀδικίας κερδαινόντων, ἀλλὰ μᾶλλον ἀποδέχου τοὺς μετὰ δικαιοσύνης ζημιωθέντας. οἱ γὰρ δίκαιοι τῶν ἀδίκων, εἰ μηδὲν ἄλλο πλεονεκτοῦσιν, ἀλλ' οὖν ἐλπίσι γε σπουδαίαις ὑπερέχουσι. πάντων μὲν ἐπιμελοῦ τῶν περὶ τὸν βίον, μάλιστα δὲ τὴν σεαυτοῦ φρόνησιν ἄσκει: μέγιστον γὰρ ἐν ἐλαχίστῳ νοῦς ἀγαθὸς ἐν ἀνθρώπου σώματι. πειρῶ τὸ μὲν σῶμα εἶναι φιλόπονος. τὴν δὲ ψυχὴν φιλόσοφος. ἵνα τῷ μὲν ἐπιτελεῖν δύνῃ τὰ δόξαντα, τῇ δὲ προορᾶν ἐπίστῃ τὰ συμφέροντα. πᾶν ὅτι ἂν μέλλῃς λέγειν, πρότερον ἐπισκόπει τῇ γνώμῃ· πολλοῖς γὰρ ἡ γλῶττα προσέχει τὴν διανοίας. νόμιζε μηδὲν εἶναι τῶν ἀνθρωπίνων βέβαιον. οὕτω γὰρ οὔτ' εὐτυχῶν ἔσῃ περιχαρὴς, οὔτε δυστυχῶν περίλυπος. δύο ποιοῦ καιροὺς τοῦ λέγειν, ἢ περὶ ὧν οἶσθα σαφῶς. ἢ περὶ ὧν ἀναγκαῖον εἰπεῖν. ἐν τούτοις γὰρ μόνος ὁ λόγος τῆς σιγῆς κρείττων, ἐν δὲ τοῖς ἄλλοις, ἄμεινον σιγᾶν, ἢ λέγειν. χαῖρε μὲν ἐπὶ

ob contingentia bona, & tristeris moderate ob euenientia mala. in alijs autem vt neutris existēs immanifestus absurdum est.n. substantiam quidem in domibus abscondere, cogitationē aūt apertā habētē obābulare. Magis vita dedecus q̄ periculū. oportet.n. esse terribilē malis quidem vitæ finem, bonis autem viuere sine gloria. Maxime quidem enitere viuere dū securitate. si vero aliquādo tibi continget periclitari, quære ex bello salutem cum pulchra gloria, sed non cum turpi fama. siquidem mori omnium fatum decreuit. pulchre vero mori proprim bonis natura atribuit. Nec admireris si multa dictorum nō conueniant tibi quantum ad præsētem ætatem: neque enim me hoc latuit, sed elegi hac mea oratione simul & præsentis vitæ consilium efferre, & futuri temporis præceptum relinquere: nam horum usum facile cognosces, consulentem vero cum beneuolentia ægre reperies, vt igitur reliqua, non ab alio quæras, sed hinc, tanquam expenu proferas, putaui oportere nihil prætermittere eorū q̄ habeo tibi cōsulere. Multa autem dijs gratiam haberem, si non aberrarē ab opinione quàm habens de te sum. nam aliorum plurimos inueniemus, vt ciborum suauissimis plus quàm sanißimis gau-

τοῖς συμβαίνουσι τῶν ἀγαθῶν, καὶ λυποῦ μετρίως ἐπὶ τοῖς γινομένοις τῶν κακῶν, ἐπὶ δὲ τοῖς ἄλλοις, ὡς μηδετέροις, ὢν ἀκατάδηλος. ἄτοπον γὰρ τὴν μὲν οὐσίαν ἐν ταῖς οἰκίαις ἀποκρύπτειν, τὴν δὲ διάνοιαν φανερὰν ἔχοντα περιπατεῖν. μᾶλλον εὐλαβοῦ ψόγον, ἢ κίνδυνον. δεῖ γὰρ εἶναι φοβερὰν τοῖς μὲν φαύλοις τὴν τοῦ βίου τελευτὴν, τοῖς δὲ σπουδαίοις, τὴν ἐν τῷ ζῆν ἀδοξίαν. μάλιστα μὲν πειρῶ ζῆν κατὰ τὴν ἀσφάλειαν. ἐὰν δέ ποτέ σοι συμβῇ κινδυνεύειν, ζήτει τὴν ἐκ τοῦ πολέμου σωτηρίαν μετὰ καλῆς δόξης, ἀλλὰ μὴ μετ' αἰσχρᾶς φήμης. τὸ μὲν γὰρ τελευτῆσαι, πάντων ἡ πεπρωμένη κατέκρινε, τὸ δὲ καλῶς ἀποθανεῖν, ἴδιον τοῖς σπουδαίοις ἡ φύσις ἀπένειμε. καὶ μὴ θαυμάσῃς εἰ πολλὰ τῶν εἰρημένων οὐ πρέπει σοι πρὸς τὴν νῦν παροῦσαν ἡλικίαν. οὐδὲ γὰρ ἐμὲ τοῦτο διέλαθεν, ἀλλὰ προειλόμην διὰ τῆς αὐτῆς πραγματείας ἅμα τοῦ τε παρόντος βίου συμβουλίαν ἐξενέγκειν, καὶ τοῦ μέλλοντος χρόνου παράγγελμα καταλιπεῖν. τὴν μὲν γὰρ τούτων χρείαν ῥαδίως εἰδήσεις, τὸν δὲ συμβουλεύοντα μετ' εὐνοίας χαλεπῶς εὑρήσεις. ὅπως οὖν τὰ λοιπὰ μὴ παρ' ἑτέρου ζητῇς, ἀλλ' ἐντεῦθεν ὥσπερ ἐκ ταμιείου προφέρεις, ᾠήθην δεῖν μηδὲν παραλιπεῖν, ὧν ἔχω σοι συμβουλεύειν. πολλὴν δ' ἂν τοῖς θεοῖς χάριν σχοίην, εἰ μὴ διαμάρτοιμι τῆς δόξης, ἣν ἔχων περὶ σοῦ τυγχάνω. τῶν γὰρ ἄλλων τοὺς πλείστους εὑρήσομεν, ὥσπερ τῶν σιτίων τοῖς ἡδίστοις μᾶλλον, ἢ τοῖς ὑγιεινοτάτοις χαίρον-

dentes,


dentes sic & amicis simul peccantibus adhæren tes, sed non admonentibus. Te autem puto contrarium istorum decreuisse, argumento vtens circa aliam tui eruditionem solicitudine. nam sibi optima facere præcipientem, hunc par est, & alios ad virtutem adhortantes suscipere. Maxime vero excitaberis appetere bona opera, si discas quòd & voluptates ex his maxime proprias habemus; siquidem pigrescendo, & satietates amando, statim tristitiæ voluptatibus affixæ sunt. At circa virtutem laborare, & modeste suam ipsius vitã dispẽsare, semꝑ delectationes synceras & stabiles reddit. Et ibi quidem primum gaudentes postmodum tristamur, hic autẽ post mœstitias, voluptates habemus. In omnibus aũt operibus, nõ ita principij recordamur, vt finis sensum accipimus: nam plurima circa vitam, non ob ipsas res facimus, verum euenientium causa laboramus. Cogita vero cur malis qudem contingat quiduis agere, statim enim vitæ tale fecere propositum: studiosos autem non possibile sit uirtutem negligere, quin multos habeant reprehensores. Omnes enim oderunt non tam peccantes, vt se moderatos quidem dicentes esse, nihil autem à quouis alio differentes, merito. cum enim sermone solo fallen-

τας, οὕτω καὶ τῶν φίλων τοῖς συνεχῶς ἁμαρτάνουσι πλησιάζοντας, ἀλλ' οὐ τοῖς νουθετοῦσι. σὲ δὲ νομίζω τοὐναντίον τούτων ἐγνωκέναι, τεκμηρίῳ χρώμενον τῇ περὶ τὴν ἄλλην σου παιδείαν φιλοπονίᾳ. τὸν γὰρ αὑτῷ τὰ βέλτιστα πράττειν ἐπιτάττοντα, τοῦτον εἰκὸς καὶ τῶν ἄλλων τοὺς ἐπὶ τὴν ἀρετὴν παρακαλοῦντας ἀποδέχεσθαι. μάλιστα δ' ἂν παροξυνθείης ὀρεχθῆναι τῶν καλῶν ἔργων, εἰ καταμάθοις ὅτι καὶ τὰς ἡδονὰς τὰς ἐκ τούτων, μάλιστα γνησίας ἔχομεν. ἐν μὲν γὰρ τῷ ῥαθυμεῖν καὶ τὰς πλησμονὰς ἀγαπᾶν, εὐθὺς αἱ λῦπαι ταῖς ἡδοναῖς παραπεπήγασι. τὸ δὲ περὶ τὴν ἀρετὴν φιλοπονεῖν, καὶ σωφρόνως τὸν ἑαυτοῦ βίον οἰκονομεῖν, ἀεὶ τὰ τέρψεις εἰλικρινεῖς, καὶ βεβαιοτέρας ἀποδίδωσι. κἀκεῖ μὲν πρῶτον ἡσθέντες, ὕστερον ἐλυπήθημεν, ἐνταῦθα δὲ μετὰ τὰς λύπας, τὰς ἡδονὰς ἔχομεν. ἐν ἅπασι δὲ τοῖς ἔργοις, οὐχ οὕτω τῆς ἀρχῆς μνημονεύομεν, ὡς τῆς τελευτῆς αἴσθησιν λαμβάνομεν. τὰ γὰρ πλεῖστα τῶν περὶ τὸν βίον, οὐδ' αὐτὰ τὰ πράγματα ποιοῦμεν, ἀλλὰ τῶν ἀποβαινόντων ἕνεκα διαπονοῦμεν. ἐνθυμοῦ δὲ διότι τοῖς μὲν φαύλοις ἐνδέχεται τὰ τυχόντα πράττειν, εὐθὺς γὰρ τοῦ βίου τοιαύτην πεποίηνται τὴν ὑπόθεσιν. τοῖς δὲ σπουδαίοις οὐχ οἷόν τε τῆς ἀρετῆς ἀμελεῖν, ἢ πολλοὺς ἔχειν τοὺς ἐπιπλήττοντας. πάντες γὰρ μισοῦσι οὐχ οὕτω τοὺς ἐξαμαρτάνοντας, ὡς τοὺς ἐπιεικεῖς μὲν φάσκοντας εἶναι, μηδὲν δὲ τῶν τυχόντων διαφέροντας. εἰκότως. ὅπου γὰρ τοὺς τῷ λόγῳ μόνῳ ψευδο-

tes reprobemus, cur vita omni deficientes non malos esse dicemus? Iuste vero tales suspicamur non solum in seipsos peccare, sed & fortuna esse proditores. hæc enim ipsis pecunias, & gloriam, & amicos in manu posuit ipsi uero se ipsos indignos præsentis fœlicitatis constituerunt. Si uero oportet mortalē existentem deorū cōiectare cogitationē, arbitror & illos in familiarissimis maxime declarasse, quomodo se habeant in improbos & studiosos homines. Iupiter enim Herculem & Tantalum cum genuißet, vt fabulæ dicūt, & omnes credunt, alterū quidē ob uirtutē immortalem effecit: alterum autem ob vitium maximis supplicijs puniuit. Quibus oportet exemplis vtentes appetere probitatem, & non solum à vobis dictis insistere, sed & poetarum optima discere, & aliorum sapientum, si quid vtile dixerunt; legere. Quemadmodum enim apem videmus in omni quidem germine insidentem, ab vnoquoque autem vtilia capientem, sic oportet & eruditionis appetentes nullius quidem inexpertum esse, undecunq; uero utilia colligere, uix enim quis cum hac diligentia naturæ errata superabit

μέ-

μένους ἀποδοκιμάζομεν, ἤπου τοὺς τῷ βίῳ
παντὶ ἐλαττουμένους οὐ φαύλους εἶναι φήσο-
μεν; δικαίως δ' ἂν τοὺς τοιούτους ὑπολάβοι-
μεν, μὴ μόνον εἰς ἑαυτοὺς ἁμαρτάνειν, ἀλλὰ καὶ
τῆς τύχης εἶναι προδότας. ἡ μὲν γὰρ αὐτοῖς
χρήματα, καὶ δόξαν, καὶ φίλους ἐνεχείρισεν, οἱ
δὲ σφᾶς αὐτοὺς ἀναξίους τῆς ὑπαρχούσης εὐ-
δαιμονίας κατέστησαν. εἰ δὲ δεῖ θνητὸν ὄντα
τῆς τῶν θεῶν στοχάσασθαι διανοίας, ἡγοῦμαι
κἀκείνους ἐπὶ τοῖς οἰκειοτάτοις μάλιστα δηλῶσαι,
πῶς ἔχουσι πρὸς τοὺς φαύλους, καὶ τοὺς σπου-
δαίους τῶν ἀνθρώπων. Ζεὺς γὰρ Ἡρακλέα καὶ
Τάνταλον γεννήσας, ὡς οἱ μῦθοι λέγουσι, καὶ
πάντες πιστεύουσι, τὸν μὲν, διὰ τὴν ἀρετὴν, ἀθά-
νατον ἐποίησε, τὸν δὲ, διὰ τὴν κακίαν, ταῖς μεγί-
σταις τιμωρίαις ἐκόλασεν. οἷς χρὴ παραδείγ-
μασι χρωμένους ὀρέγεσθαι τῆς καλοκαγαθίας,
καὶ μὴ μόνον τοῖς ὑφ' ἡμῶν εἰρημένοις ἐμμένειν,
ἀλλὰ καὶ τῶν ποιητῶν τὰ βέλτιστα μανθάνειν, καὶ
τῶν ἄλλων σοφιστῶν, εἴ τι χρήσιμον εἰρήκασιν, ἀ-
ναγινώσκειν. ὥσπερ γὰρ τὴν μέλιτταν ὁρῶ-
μεν ἐφ' ἅπαντα μὲν τὰ βλαστήματα καθιζάνου-
σαν, ἀφ' ἑκάστου δὲ τὰ χρήσιμα λαμβάνουσαν,
οὕτω χρὴ καὶ τοὺς παιδείας ὀρεγομένους, μη-
δενὸς μὲν ἀπείρως ἔχειν, πανταχόθεν δὲ τὰ χρή-
σιμα συλλέγειν. μόλις γὰρ ἄν τις ἐκ ταύτης τῆς
ἐπιμελείας, τὰς τῆς φύσεως ἁμαρτίας ἐπικρα-
τήσειεν.



Vi qdē cōsueuerūt ò Nicocles, uobis regibus uestes adducere, vel æs, vel aurum elaboratum, uel aliud aliquid talium rerum, quarū ipsi quidem indigentes sunt, vos autem dites estis, ualde uisi sunt esse mihi manifesti, nō exhibitionem, sed mercaturā faciētes, atq; multo artificiosius ea uendentes confitentibus cauponari. Ego autem existimaui hoc pulcherrimum esse donum & utilissimum, & maxime conueniēs & mihi danti, & tibi accipiēti, si possem definire quæ studia appetens, & à quibus opibus abstinens optime, & ciuitatem & regnum gubernares. Etenim vulgares sunt multa erudientia, & maxime non esse in delitijs, sed cogi victu singulo quoque concertare die. Postea leges, secundum quas singuli in republica viuētes sūt: adhuc aūt libertas dicendi, & planè licere, & amicis obiurgare, & inimicis imputare vicissim inter se delicta. Ad hæc quoq;, quidam ēt poetarum antiquorū documenta, vt oportet uiuere, reliquerunt. quare ex omnibus istis par est ipsos meliores fieri. Tyrannis autem nihil adest tale. sed quos magis oportebat alijs erudiri, quoniam in principiatu constituti

ΠΡΟΣ



Οἱ μὲν εἰωθότες ὦ Νικόκλεις ὑμῖν τοῖς βασιλεῦσιν ἐσθῆτας ἄγειν, ἢ χαλκὸν, ἢ χρυσὸν εἰργασμένον, ἢ ἄλλο τι τῶν τοιούτων χρημάτων, ὧν αὐτοὶ μὲν ἐνδεεῖς εἰσὶν, ὑμεῖς δὲ πλουτεῖτε, λίαν ἔδοξαν εἶναί μοι καταφανεῖς, οὐ δόσιν, ἀλλ' ἐμπορίαν ποιούμενοι, καὶ πολὺ τεχνικώτερον αὐτὰ πωλοῦντες, τῶν ὁμολογούντων καπηλεύειν. ἐγὼ δ' ἡγησάμην ἂν ταύτην καλλίστην γενέσθαι δωρεὰν, καὶ χρησιμωτάτην, καὶ μάλιστα πρέπουσαν ἐμοί τε δοῦναι, καὶ σοὶ λαβεῖν, εἰ δυνηθείην ὁρίσαι ποίων ἐπιτηδευμάτων ὀρεγόμενος, καὶ τίνων ἔργων ἀπεχόμενος, ἄριστ' ἂν καὶ τὴν πόλιν καὶ τὴν βασιλείαν διοικοίης. τοὺς μὲν γὰρ ἰδιώτας ἐστὶ πολλὰ τὰ παιδεύοντα, καὶ μάλιστα μὲν τὸ μὴ θρυφᾶν, ἀλλ' ἀναγκάζεσθαι περὶ τοῦ βίου καθ' ἑκάστην ἀγωνίζεσθαι τὴν ἡμέραν. ἔπειθ' οἱ νόμοι καθ' οὓς ἕκαστοι πολιτευόμενοι τυγχάνουσιν. ἔτι δ' ἡ παρρησία, καὶ τὸ φανερῶς ἐξεῖναι τοῖς τε φίλοις ἐπιπλῆξαι, καὶ τοῖς ἐχθροῖς ἐπιθέσθαι ταῖς ἀλλήλων ἁμαρτίαις. πρὸς δὲ τούτοις, τινὲς καὶ τῶν ποιητῶν τῶν προγεγενημένων ὑποθήκας, ὡς χρὴ ζῆν, καταλελοίπασιν. ὥστ' ἐξ ἁπάντων τούτων εἰκὸς αὐτοὺς βελτίους γίγνεσθαι. τοῖς δὲ τυράννοις οὐδὲν ὑπάρχει τοιοῦτον. ἀλλ' οὓς μᾶλλον ἔδει τῶν ἄλλων παιδεύεσθαι, ἐπειδὰν εἰς τὴν ἀρχὴν κατα-

ſunt, ineruditi degunt. ſiquidem plurimi hominum ipſos non accedunt, qui vero conuiuunt, ad gratiam loquuntur. Quippe domini facti, & pecuniarum plurimarum, & rerum maximarum, quia non bene vtuntur ipſis occaſionibus, effecerunt, multos dubitare vtrum ſit dignius eligere, vitam priuatorum quidem, decenter tamen agentium, an regnantium. Quando enim reſpexerint in honores, & diuitias, & potentiam, diuinos omnes arbitrantur in regnis conſtitutos poſtquàm autem conſiderauerint, timores, & pericula, & percurrentes inuenerint, hos quidem à quibus minime oportebat interfectos, hos autem in familiariſſimos delinquere coactos, his vero ambo hæc contingentia, rurſus quocunque modo viuere ducunt vtile magis eſſe, quàm cum talibus calamitatibus toti Aſiæ imperare. Huius autem varietatis & confuſionis cauſa eſt, quòd regnum, tanquam ſacerdotium omnis viri eſſe putant, quod humanarum actionum maximum eſt, & maioris prouidentiæ indigum. In ſingulis igitur actionibus, quibus aliquis maxime poſſit ſecundum morem gubernare, & bona quidem conſeruare, calamitates autem euitare, ſemper præſentium officium eſt conſulere: vniuerſaliter autem ſtudia quæ oportet conſiderare, & circa quæ conuenit immorari, ego tentabo per

γαθότητι διατελοῦσιν. οἱ μὲν γὰρ πλεῖστοι τῶν ἀνθρώπων αὐτοῖς οὐ πλησιάζουσιν, οἱ δὲ συνόντες, πρὸς χάριν ὁμιλοῦσιν. καὶ γάρτοι κύριοι γενόμενοι καὶ χρημάτων πλείστων, καὶ πραγμάτων μεγίστων, διὰ τὸ μὴ καλῶς χρῆσθαι ταύταις ταῖς ἀφορμαῖς, πεποιήκασιν, ὥστε πολλοὺς ἀμφισβητεῖν, πότερόν ἐστιν ἄξιον ἑλέσθαι τὸν βίον, τὸν τῶν ἰδιωτευόντων μὲν, ἐπιεικῶς δὲ πραττόντων, ἢ τὸν τῶν τυραννευόντων. ὅταν μὲν γὰρ ἀποβλέψωσιν εἰς τὰς τιμὰς, καὶ τοὺς πλούτους, καὶ τὰς δυναστείας, ἰσοθέους ἅπαντας νομίζουσι τοὺς ἐν ταῖς μοναρχίαις ὄντας. ἐπειδὰν δὲ ἐνθυμηθῶσι τοὺς φόβους, καὶ τοὺς κινδύνους, καὶ διεξιόντες ὁρῶσι τοὺς μὲν ὑφ' ὧν ἥκιστα ἐχρῆν διεφθαρμένους, τοὺς δὲ εἰς τοὺς οἰκειοτάτους ἐξαμαρτεῖν ἠναγκασμένους, τοῖς δὲ ἀμφότερα ταῦτα συμβεβηκότα, πάλιν ὁπωσοῦν ζῆν ἡγοῦνται λυσιτελεῖν μᾶλλον, ἢ μετὰ τοιούτων συμφορῶν ἁπάσης τῆς Ἀσίας βασιλεύειν. ταύτης δὲ τῆς ἀνωμαλίας, καὶ τῆς ταραχῆς αἴτιόν ἐστιν, ὅτι τὴν βασιλείαν, ὥσπερ ἱερωσύνην παντὸς ἀνδρὸς εἶναι νομίζουσιν, ὃ τῶν ἀνθρωπίνων πραγμάτων μέγιστόν ἐστι, καὶ πλείονος προνοίας δεόμενον. καθ' ἑκάστην μὲν οὖν πρᾶξιν, ἐξ ὧν ἄν τις μάλιστα δύναιτο κατὰ τρόπον διοικεῖν, καὶ τὰ μὲν ἀγαθὰ διαφυλάττειν, τὰς δὲ συμφορὰς διαφεύγειν, τῶν ἀεὶ παρόντων ἔργον ἐστὶ συμβουλεύειν. καθόλου δὲ τῶν ἐπιτηδευμάτων, ὧν χρὴ στοχάζεσθαι, καὶ περὶ ἃ δεῖ διατρίβειν. ἐγὼ πειράσομαι διελ-

currere. An igitur erit hoc munꝰ absolutũ dignis propositæ materiæ, difficile est à principio conspicere. multa. n. & versu composita poemata & prosa conscripta opera adhuc quidem in cogitationibus existẽtia cõponẽtiũ, magnas expectationes præbuerunt: completa uero & alijs ostensa, multo inferiorem opinionem spe sumpserũt. Verum enimuero, & hic quidem conatus bene se habet, inquirere derelicta, & leges dicere regnis. Qui enim vulgus erudiunt, illos solos iuuant: si quis autem dominantes multitudini ad virtutem hortetur, vtrosque iuuat, & potentatus habentes, & sub eis existentes. His enim principatus securiores, his autem conuersationes mitiores faciunt. primum igitur considerandum quod regnantium opus sit. si enim caput & vim totius rei bene assumpserimus, huc aspicientes melius, & de alijs partibus dicemus. Arbitror quippe omnes confiteri, conuenire ipsis & ciuitatẽ male agẽtem sedare, & bene agentem conseruare, & magnam ex parua facere: nam alia singulo quoque die contingentia, horum gratia facienda sunt. Atque illud quidem manifestum est, quòd oportet hæc potentes & de his consultantes, non segnes esse, sed considerare qũo sapientibus disponantur

θεῶν

θεῖν. εἰ μὲν οὖν ἔσαι τὸ δῶρον ἐξεργασθὲν ἄξιον
τῆς ὑποθέσεως, χαλεπὸν ἀπὸ τῆς ἀρχῆς συνιδεῖν.
πολλὰ γὰρ καὶ τῶν ἐμμέτρων ποιημάτων, καὶ τῶν
καταλογάδην συγγραμμάτων, ἔτι μὲν ἐν ταῖς δια
νοίαις ὄντα τῶν συντιθέντων, μεγάλας τὰς προσδο
κίας παρέσχον, ἐπιτελεσθέντα δὲ καὶ τοῖς ἄλλοις
ὑποδειχθέντα, πολὺ καταδεεστέραν τὴν δόξαν
τῆς ἐλπίδος ἔλαβον. οὐ μὴν ἀλλὰ καὶ τό γε ἐγχεί-
ρημα καλῶς ἔχει, τὸ ζητεῖν τὰ παραλελειμμένα, καὶ
νομοθετεῖν ταῖς μοναρχίαις. οἱ μὲν γὰρ τοὺς ἰδιώ-
τας παιδεύοντες, ἐκείνους μόνους ὠφελοῦσιν, εἰ
δέ τις τοὺς κρατοῦντας τοῦ πλήθους, ἐπ' ἀρετὴν
προτρέψειεν, ἀμφοτέρους ἂν ὠφελήσειε, καὶ τοὺς
τὰς δυναστείας ἔχοντας, καὶ τοὺς ὑπ' αὐτοῖς ὄν-
τας. τοῖς μὲν γὰρ ἂν τὰς ἀρχὰς ἀσφαλεστέρας,
τοῖς δὲ τὰς πολιτείας πρᾳοτέρας ποιήσειεν. πρῶ-
τον μὲν οὖν σκεπτέον τί τῶν βασιλευόντων ἔργον
ἐστίν. ἐὰν γὰρ τὸ κεφάλαιον, καὶ τὴν δύναμιν ὅλου
τοῦ πράγματος καλῶς παραλάβωμεν, ἐνταῦθα
ἀποβλέποντες ἄμεινον καὶ περὶ τῶν ἄλλων μερῶν
ἐροῦμεν, οἶμαι δὴ πάντας ἂν ὁμολογῆσαι, προσή-
κειν αὐτοῖς πόλιν τε δυστυχοῦσαν παῦσαι, καὶ
καλῶς πράττουσαν διαφυλάξαι, καὶ μεγάλην ἐκ
μικρᾶς ποιῆσαι. τὰ γὰρ ἄλλα τὰ καθ' ἑκάστην ἡ-
μέραν συμπίπτοντα, τούτων ἕνεκα πρακτέον ἐστί.
καὶ μὴν ἐκεῖνό γε φανερόν. ὅτι δεῖ τοὺς ταῦτα δυ-
νησομένους, καὶ περὶ τούτων βουλευσομένους μὴ ῥαθυ
μεῖν, ἀλλὰ σκοπεῖν, ὅπως φρονιμώτερον διακείσον-

alijs. oſtenſum eſt enim quòd talia habebunt regna, quales ſuas ipſorum ſententias conſtituerint. Quare nulli athletarum ita conuenit corpus exercere, vt regibus animam ſuam ipſorum. omnes enim hominũ conuentus nullã partẽ ſtatuũt horũ certaminum, de quibus vos ſingulo contenditis die. Quæ cõſiderantẽ oportet adhibere mentẽ, vt quantũ honoribus cæteris præſtas, tantum & uirtutibus ipſos excellas. Et ne putes ſtudium in alijs quidem rebus vtile eſſe, ad meliores autem nos & ſapientiores fiendos, nullam habere vim. Neque condemna homines tanta infelicitate, vt circa beſtias quidẽ artes inuenerimus quibus earum animas manſuefacimus, & pluris dignas facimus, nos autem ipſos nihil ad virtutem iuuerimus: alioqui & eruditione & ſtudio valente noſtram animam beneficio afficere. Sic diſpone voluntatem, & præſentium ſapientiſſimos accede: & aliorum quos potes accerſe. Et neque poetarum approbatorum, neque rhetorum puta vllius oportere inexpertem eſſe, ſed horum auditor ſias, illorum autem diſcipulus. Et conſtitue te ipſum, minorum quidem iudicẽ, maiorum autem aduerſarium: nam per has exercitationes celerrime fies talis, qualẽ ſuppoſuimus oportere eſſe

ται τῶν ἄλλων. δέδεικται δ᾽ ὅτι τοιαύτας ἕξουσι τὰς βασιλείας, οἵασπερ ἂν τὰς αὑτῶν γνώμας παρασκευάσωσιν, ὥστε οὐδενὶ τῶν ἀθλητῶν οὕτω προσήκει τὸ σῶμα γυμνάζειν, ὡς τοῖς βασιλεῦσι τὴν ψυχὴν τὴν ἑαυτῶν. ἅπασαι δ᾽ αἱ πανηγύρεις, οὐδὲν μέρος τιθέασι τούτων τῶν ἄλλων, ὑπὲρ ὧν ὑμεῖς καθ᾽ ἑκάστην ἀγωνίζεσθε τὴν ἡμέραν. ὧν ἐνθυμούμενον χρὴ προσέχειν τὸν νοῦν, ὅπως ὅσονπερ ταῖς τιμαῖς τῶν ἄλλων προσέχεις, τοσοῦτον, καὶ ταῖς ἀρεταῖς αὐτῶν διοίσεις. καὶ μὴ νόμιζε τὴν ἐπιμέλειαν ἐν μὲν τοῖς ἄλλοις πράγμασι χρησίμην εἶναι, πρὸς δὲ τὸ βελτίους ἡμᾶς, καὶ φρονιμωτέρους γίνεσθαι, μηδεμίαν ἔχειν δύναμιν. μὴ δὲ καταγνῷς τῶν ἀνθρώπων τοσαύτην δυστυχίαν, ὡς περὶ μὲν τὰ θηρία τέχνας εὑρήκαμεν, αἷς αὐτῶν τὰς ψυχὰς ἡμεροῦμεν, καὶ πλείονος ἀξίας ποιοῦμεν, ἡμᾶς δ᾽ αὐτοὺς οὐδὲν ἂν πρὸς ἀρετὴν ὠφελήσαιμεν, ἄλλως τε καὶ τῆς παιδεύσεως, καὶ τῆς ἐπιμελείας δυναμένης τὴν ἡμετέραν ψυχὴν εὐεργετεῖν, οὕτω διάκεισο τὴν γνώμην. καὶ τῶν τε παρόντων τοῖς φρονιμωτάτοις πλησίαζε, καὶ τῶν ἄλλων οὓς ἂν δύνῃ μεταπέμπου. καὶ μήτε τῶν ποιητῶν τῶν εὐδοκιμούντων, μήτε τῶν σοφιστῶν μηδενὸς οἴου δεῖν ἀπείρως ἔχειν. ἀλλὰ τῶν μὲν, ἀκροατὴς γίγνου τῶν δὲ μαθητής. καὶ παρασκεύαζε σαυτὸν, τῶν μὲν ἐλαττόνων κριτὴν, τῶν δὲ μειζόνων, ἀνταγωνιστήν: διὰ δ᾽ τούτων τῶν γυμνασιῶν, τάχιστ᾽ ἂν γένοιο τοιοῦτος, οἷον ὑπεθέμεθα δεῖν εἶναι τὸν

recte

recte regnantem, & ciuitatem vt oportet administratem. Præcipue vero ipse a teipso adhortareris, si graue duceres peiores melioribus dominari, & imprudentiores sapientioribus imperare. Quanto enim validius aliorum amentiam inhonorabis, tanto magis tuā ipsius mētem exercebis. Incipere igitur hinc oportet debentes aliquid agere dicentium. Ad hæc autē humanū esse oportet, & ciuitatis amatorē; neq;.n. qs, neq; canib⁹, neq; hominibus, neque aliæ vllæ rei possibile est bene præesse, nisi quis gaudeat his quorum ipsum oportet facere curam. Cura sit tibi multitudinis, & omnibus antepone gratiose ipsis imperare, cognoscens quòd & paucorum resp. & aliarum, rerum publicarū illæ plurimū tēpus permanēt, quæ optime multitudinē curauerint. Bene autē populū tractabis, si neq; turbā iniuria afficere sinas, neq; iniuria affectū despicias. Sed consideres quō optimi quidem honores habebūt, alij vero nihil iniuria afficientur. Hæc.n. elementa prima & maxima optime reipublicæ sunt. Edictorum & studiorum amoue & transpone quæ non bene constitua fuerint. Ac maxime quidem inuentor fias optimorum, sin autem, imiteris apud alios bene se habentia. Quære leges omnino iustas & conferentes, & sibi ipsis consentientes. Ad hæc autem quæ

ὀρθῶς

ὀρθῶς βασιλεύοντα, καὶ τὴν πόλιν ὡς χρὴ διοικήσοντα. μάλιστα δ᾽ ἂν αὐτὸς ὑπὸ σαυτοῦ παρακληθείης, εἰ δεινὸν ἡγήσαιο τοὺς χείρους τῶν βελτιόνων ἄρχειν, καὶ τοὺς ἀνοητοτέρους τοῖς φρονιμωτέροις προστάττειν. ὅσῳ γὰρ ἂν ἐρρωμενεστέρως τὴν τῶν ἄλλων ἄνοιαν ἀτιμάσῃς, τοσούτῳ μᾶλλον τὴν σεαυτοῦ διάνοιαν ἀσκήσεις. ἄρχεσθαι μὲν οὖν ἐντεῦθεν χρὴ τοὺς μέλλοντάς τι ποιήσειν τῶν δεόντων. πρὸς δὲ τούτοις, φιλάνθρωπον εἶναι δεῖ καὶ φιλόπολιν. οὔτε γὰρ ἵππων, οὔτε κυνῶν, οὔτε ἀνδρῶν, οὔτε ἄλλου πράγματος οὐδενὸς, οἷόν τε καλῶς ἄρχειν, ἢν μή τις χαίρῃ τούτοις, ὧν αὐτὸν δεῖ ποιεῖσθαι τὴν ἐπιμέλειαν. μελέτω σοι τοῦ πλήθους, καὶ περὶ παντὸς ποιοῦ κεχαρισμένως αὐτοῖς ἄρχειν, γιγνώσκων, ὅτι καὶ τῶν ὀλιγαρχιῶν, καὶ τῶν ἄλλων πολιτειῶν, αὗται πλεῖστον χρόνον διαμένουσιν, αἵτινες ἂν ἄριστα τὸ πλῆθος θεραπεύσωσι. καλῶς δὲ δημαγωγήσεις, ἐὰν μήτε τὸν ὄχλον ὑβρίζειν ἐᾷς, μήτε ὑβριζόμενον περιορᾷς, ἀλλὰ σκοπῇς, ὅπως οἱ βέλτιστοι μὲν τὰς τιμὰς ἕξουσιν, οἱ δ᾽ ἄλλοι μηδὲν ἀδικηθήσονται. ταῦτα γὰρ στοιχεῖα πρῶτα καὶ μέγιστα χρηστῆς πολιτείας ἐστί. τῶν προσταγμάτων, καὶ τῶν ἐπιτηδευμάτων, κίνει καὶ μετατίθει τὰ μὴ καλῶς καθεστῶτα. καὶ μάλιστα μὲν εὑρετὴς γίγνου τῶν βελτίστων, εἰ δὲ μὴ, μιμοῦ τὰ παρὰ τοῖς ἄλλοις καλῶς ἔχοντα. ζήτει νόμους, τὸ μὲν σύμπαν δικαίους, καὶ συμφέροντας, καὶ σφίσιν αὐτοῖς ὁμολογουμένους. πρὸς δὲ τούτοις, οἵτινες

ambi-

ambiguitates quidem quàm minimas, dissolutiones aũt, quãtũ fieri põt, celerrimas ciuibus facient. Hæc enim omnia adesse oportet bene positis legibus. Operationes quidem ipsis constitue lucrosas, negotia autem damnosa, vt hæc quidem fugiant, ad illas aũt prompte se habeant. Iudicia fac de quibus inter sese contendunt, non ad gratiam, neque contraria sibi ipsis, sed semper eadem, & de eisdem cognosce. Etenim decet, & vtile est, regum sententiam immutabiliter se habere de iustis, quemadmodum leges bene positas. Administra ciuitatem, atque vt paternam domum, cõstitutionibus quidẽ splẽdide & regie, actionibus autem exquisite, vt commenderis simul & sufficias. Magnificentiam ostendito in nullo apparatu qui cito deleatur, sed & in antedictis, & in pulchritudine possessionum, & in amicorum beneficijs: nam tales expensæ & tibi ipsi permanebunt, & posteris pluris digna consumptis derelinques. Quæ ad dees attinẽt, fac quidẽ vt maiores demõstrarũt. Existima vero hoc esse sacrificiũ pulcherrimũ & cultũ maximũ, si quãoptimũ & iustissimũ teipsum exhibeas. magis. n. spes est tales, q̃ victimas plures deijciẽtes, impetraturos aliquid à dijs bonum. Honora præfecturis quidem

τὰς

τὰς μὲν ἀμφισβητήσεις ὡς ἐλαχίστας, τὰς δὲ διαλύσεις, ὡς οἷόν τε ταχίστας τοῖς πολίταις ποιήσουσι. ταῦτα γὰρ ἅπαντα προσεῖναι δεῖ τοῖς καλῶς κειμένοις νόμοις. τὰς μὲν ἐργασίας αὐτοῖς καθίστη κερδαλέας, τὰς δὲ πραγματείας ἐπιζημίους, ἵνα τὰς μὲν φεύγωσι, πρὸς δὲ τὰς, προθύμως ἔχωσι. τὰς κρίσεις ποιοῦ περὶ ὧν ἂν πρὸς ἀλλήλους ἀμφισβητῶσι, μὴ πρὸς χάριν, μηδὲ ἐναντίας ἀλλήλαις, ἀλλ' ἀεὶ ταὐτὰ καὶ περὶ τῶν αὐτῶν γίγνωσκε. καὶ γὰρ πρέπει, καὶ συμφέρει τὴν τῶν βασιλέων γνώμην ἀμετακινήτως ἔχειν περὶ τῶν δικαίων, ὥσπερ τοὺς νόμους τοὺς καλῶς κειμένους. διοίκει τὴν πόλιν ὁμοίως, ὥσπερ τὸν πατρῷον οἶκον, ταῖς μὲν κατασκευαῖς λαμπρῶς καὶ βασιλικῶς, ταῖς δὲ πράξεσιν ἀκριβῶς, ἵν' εὐδοκιμῇς ἅμα, καὶ διαρκῇς. τὴν μεγαλοπρέπειαν ἐνδείκνυσο ἐν μηδεμιᾷ τῶν πολυτελειῶν, τῶν εὐθὺς ἀφανιζομένων, ἀλλ' ἔν τε τοῖς προειρημένοις, καὶ τῷ κάλλει τῶν κτημάτων, καὶ ταῖς τῶν φίλων εὐεργεσίαις. τὰ γὰρ τοιαῦτα τῶν ἀναλωμάτων αὐτῷ τέ σοι παραμένει, καὶ τοῖς ἐπιγιγνομένοις πλείονος ἄξια τῶν δεδαπανημένων καταλείψεις. τὰ περὶ τοὺς θεοὺς ποίει μὲν, ὡς οἱ πρόγονοι κατέδειξαν. ἡγοῦ δὲ τοῦτο εἶναι θῦμα κάλλιστον, καὶ θεραπείαν μεγίστην, ἐὰν ὡς βέλτιστον καὶ δικαιότατον σεαυτὸν παρέχῃς. μᾶλλον γὰρ ἐλπὶς τοὺς τοιούτους, ἢ τοὺς ἱερεῖα πολλὰ καταβάλλοντας πράξειν τι παρὰ τῶν θεῶν ἀγαθόν. τίμα ταῖς μὲν ἀρχαῖς τῶν

honorum familiarissimos, verissimis autem beneuolentissimos. Custodiã securissimã existima corporis esse, & amicorum virtutem, & ciuium beneuolentiã, & tuam ipsius prudentiã. per hæc enim & acquirere, & conseruare regna maxime quis potest. Curam suscipe domorum priuatorum; & puta expendentes de tuis consumere, & operantes tua amplificare. omnes enim habitantium vrbem domus, bene regnantium sunt. Per omne tempus veritatem ita præ te feras, vt fideliores sint tui sermones q̃ aliorum iuramenta. Cunctis quidem hospitibus tutam ciuitatem exhibe, & ad commercia legitimam. Pluris facias autem aduenarum non tibi dona adducentes, sed abs te accipere dignum putantes. honorans enim tales magis apud alios commendaberis. Timores amoue ciuium, & noli formidolosus esse nihil iniuste agẽtibus. ut enim alios erga te ipsum affeceris, ita & tu erga illos habebis. Fac quidem nihil cum ira, videare aũt alijs, q̃n tibi occasio fuerit. Austerus quidẽ videaris, ꝙ nihil te lateat eorũ quæ fiunt, mitis autem, pœnas minores faciendo peccantium. Princeps esse velis, nõ austeritate, nec valde puniendo, sed omnes inferiores esse tua cogitatione, & putãdo de

τιμῶν τοὺς οἰκειοτάτους, τοὺς δὲ ἀληθεστάτους, τοὺς εὐνουστάτους. φυλακὴν ἀσφαλεστάτην ἡγοῦ τοῦ σώματος εἶναι τήν τε τῶν φίλων ἀρετὴν, καὶ τὴν τῶν πολιτῶν εὔνοιαν, καὶ τὴν σαυτοῦ φρόνησιν. διὰ γὰρ τούτων καὶ κτᾶσθαι. καὶ διασώζειν τὰς τυραννίδας μάλιστ᾽ ἄν τις δύναιτο. κήδου τῶν οἴκων τῶν ἰδιωτῶν, καὶ νόμιζε τοὺς δαπανωμένους ἀπὸ τῶν σῶν ἀναλίσκειν, καὶ τοὺς ἐργαζομένους τὰ σὰ πλείω ποιεῖν. ἅπαντα γὰρ τὰ τῶν οἰκούντων τὴν πόλιν οἰκεῖα τῶν καλῶς βασιλευόντων ἐστί. διὰ παντὸς τοῦ χρόνου τὴν ἀλήθειαν οὕτω φαίνου προτιμῶν, ὥστε πιστοτέρους εἶναι τοὺς σοὺς λόγους, ἢ τοὺς τῶν ἄλλων ὅρκους. ἅπασι μὲν τοῖς ξένοις ἀσφαλῆ τὴν πόλιν πάρεχε, καὶ πρὸς τὰ συμβόλαια νόμιμον. περὶ πλεῖστον δὲ ποιοῦ τῶν ἀφικνουμένων, μὴ τοὺς σοὶ δωρεὰς εἰσάγοντας, ἀλλὰ τοὺς παρὰ σοῦ λαμβάνειν ἀξιοῦντας. τιμῶν γὰρ τοὺς τοιούτους μᾶλλον παρὰ τοῖς ἄλλοις εὐδοκιμήσεις. τοὺς φόβους ἐξαιροῦ τῶν πολιτῶν. καὶ μὴ βούλου περιδεὴς εἶναι τοῖς μηδὲν ἀδικοῦσιν. ὅπως γὰρ ἂν τοὺς ἄλλους πρὸς σεαυτὸν διαθῇς, οὕτω καὶ σὺ πρὸς ἐκείνους ἕξεις. ποίει μὲν μηδὲν μετ᾽ ὀργῆς, δόκει δὲ τοῖς ἄλλοις ὅταν σοι καιρὸς ᾖ. δεινὸς μὲν φαίνου τῷ μηδέν σε λανθάνειν τῶν γιγνομένων, πρᾶος δὲ, τῷ τὰς τιμωρίας ἐλάττους ποιεῖσθαι τῶν ἁμαρτανομένων. ἀρχικὸς εἶναι βούλου μὴ χαλεπότητι, μηδὲ τῷ σφόδρα κολάζειν, ἀλλὰ τῷ πάντας ἡττᾶσθαι τῆς σῆς διανοίας, καὶ νομίζειν ὑπὲρ

corum

eorum salute melius te consulere. Bellator sis scientijs bellicis & apparatibus, pacificus autem nihil præter iustum acquirendo. Ita conuerseris cum ciuitatibus inferioribus, vt superiores tecum dignum putares. Contende non de omnibus, sed de quibus vicenti tibi futura sit vtilitas. Viles existima non vtiliter victos, sed cum detrimento superatos. Magnanimos esse puta non maiora aggredientes quàm possint obtinere, sed mediocria quidē desiderātes, efficere aūt volentes quæ aggressi fuerint. Imitare nō maximum principatum possidentes, sed optime præsenti utentes. Et puta perfecte felicem te futurum, non si omnibus hominibus cum terroribus & periculis īperes, sed si talis existēs qualē oportet, & faciens vt in præsenti mediocria concupiscas & nullius horum indigeas. Amicos acquire non omnes volentes, verum tuæ naturæ dignos existētes. Neq; cū quibus suauissime verseris: sed cū quibus optime ciuitatē administres. Diligentes fac experientias tecū versantiū, sciens ꝙ omnes qui te non accedunt, similē te illis quibus vteris opinantur. Tales impone negotijs nō abs te faciendis, vt ipse causas habiturus eorum quæ illi fecerint. Fideles puta, non omne quod facis aut dicis laudantes, sed eos qui malefacta reprendant. Exhibe libertatem dicendi bene

τῆς ἑαυτῶν σωτηρίας ἄμεινόν σε βουλεύεσθαι. πολεμικὸς γίνου ταῖς ἐπιστήμαις καὶ ταῖς παρασκευαῖς, εἰρηνικὸς δὲ, τῷ μηδὲν παρὰ τὸ δίκαιον πλεονεκτεῖν. οὕτως ὁμίλει τῶν πόλεων πρὸς τὰς ἥττους, ὥσπερ ἂν τὰς κρείττους πρὸς σεαυτὸν ἀξιώσειας. φιλονείκει περὶ ἁπάντων, ἀλλὰ περὶ ὧν ἂν κρατήσαντί σοι μέλλει συνοίσειν. φαύλους ἡγοῦ μὴ τοὺς συμφερόντως ἡττωμένους, ἀλλὰ τοὺς μετὰ βλάβης περιγιγνομένους. μεγαλόφρονας εἶναι νόμιζε μὴ τοὺς μείζω περιβαλλομένους ὧν οἷοί τε εἰσὶ κατασχεῖν, ἀλλὰ τοὺς μετρίων μὲν ἐφιεμένους, ἐξεργάζεσθαι δὲ δυναμένους οἷς ἂν ἐπιχειρῶσι. ζήλου μὴ τοὺς μεγίστην ἀρχὴν κτησαμένους, ἀλλὰ τοὺς ἄριστα τῇ παρούσῃ χρησαμένους. καὶ νόμιζε τελέως εὐδαιμονήσειν, οὐκ ἐὰν ἁπάντων ἀνθρώπων μετὰ φόβων καὶ κινδύνων ἄρχῃς, ἀλλ' ἐὰν τοιοῦτος ὢν, οἷον χρὴ, καὶ πράττων, ὥσπερ ἐν τῷ παρόντι, μετρίων ἐπιθυμῇς, καὶ μηδενὸς τούτων ἀπορῇς. φίλους κτῶ μὴ πάντας τοὺς βουλομένους, ἀλλὰ τοὺς τῆς σῆς φύσεως ἀξίους ὄντας, μηδὲ μεθ' ὧν ἥδιστα συνδιατρίψεις, ἀλλὰ μεθ' ὧν ἄριστα τὴν πόλιν διοικήσεις. ἀκριβεῖς ποιοῦ τὰς δοκιμασίας τῶν συνόντων, εἰδὼς ὅτι πάντες οἱ μή σοι πλησιάζοντες, ὅμοιόν σε τοῖς χρωμένοις νομιοῦσι. τοιούτους ἐφίστη τοῖς πράγμασι τοῖς μὴ διὰ σοῦ γιγνομένοις, ὡς αὐτὸς τὰς αἰτίας ἕξων, ὧν ἂν ἐκεῖνοι πράξωσι. πιστοὺς ἡγοῦ μὴ τοὺς πᾶν ὅτι ἂν ποιῇς, ἢ λέγῃς ἐπαινοῦντας, ἀλλὰ τοὺς τοῖς ἁμαρτανομένοις ἐπιτιμῶντας. δίδου παρρησίαν τοῖς εὖ-

ſapientibus, vt de quibus dubitas habeas comprobantes. Diſcerne & arte adulantes, & cum beneuolentia colentes, vt non plus mali bonis habeant. Audi ſermones hominum de ſeſe mutuos, & enitere cognoſcere pariter dicentes quales, & qui ſint, & de quibus dicunt. Eiſdem puni damnis falſe criminantes, quibus peccantes. Impera tibi ipſi nihil minus quàm aliis. Et hoc exiſtima maxime regium, ſi nulli ſeruias voluptati, ſed domineris cupiditatibus plusquam ciuibus. Nullum conuentum temere admitte, neque ſine ratione, ſed in illis conuerſationibus aſſueſce teipſum lætari, ex quibus & ipſe creſcas, & aliis melior eſſe videaris. Ne appare contentioſus in talibus quæ & malis tranſigere poſſibile eſt, ſed in virtute magnum ſapiens, cuius nulla pars prauis adeſt. Exiſtima honorum veriſſimos eſſe, non in aperto cum timore factos, ſed quando ipſi apud ſe exiſtentes, magis tuam prudentiam, quam fortunam admirantur. Late quidem ſi in re tibi contingat malorum gaudere, appare vero circa maxima ſtudens. Ne alios quidem dignum puta ordinate viuere, reges autem inordinate, ſed tuam ipſius modeſtiam exemplum aliis conſtitue: cognoſcens quòd ciuitatis mos totius ſimilis euadit imperantibus. Signum

φρονοῦσι, ἵνα περὶ ὧν ἂν ἀμφιγνοῇς ἔχῃς τοὺς συν-
δοκιμάσοντας. διόρα καὶ τοὺς τέχνῃ κολακεύον-
τας, καὶ τοὺς μετ' εὐνοίας θεραπεύοντας, ἵνα μὴ
πλέον οἱ πονηροὶ τῶν χρηστῶν ἔχωσιν. ἄκουε λόγους
τοὺς περὶ ἀλλήλων, καὶ πειρῶ γνωρίζειν ἅμα
τοὺς λέγοντας, ὁποῖοί τινές εἰσι, καὶ περὶ ὧν
ἂν λέγωσι. τοῖς αὐτοῖς κόλαζε ζημίαις τοὺς ψευ-
δῶς διαβάλλοντας, αἷσπερ τοὺς ἐξαμαρτάνον-
τας. ἄρχε σεαυτοῦ μηδὲν ἧττον ἢ καὶ τῶν ἄλλων.
καὶ τοῦτο ἡγοῦ βασιλικώτατον, ἐὰν μηδεμιᾷ
δουλεύῃς τῶν ἡδονῶν, ἀλλὰ κρατῇς τῶν ἐπιθυ-
μιῶν μᾶλλον ἢ τῶν πολιτῶν. μηδεμίαν συνου-
σίαν εἰκῇ προσδέχου, μηδ' ἀλογίστως, ἀλλ' ἐπ' ἐκεί-
ναις ταῖς διατριβαῖς ἔθιζε σεαυτὸν χαίρειν, ἐξ ὧν
αὐτός τε ἐπιδώσεις, καὶ τοῖς ἄλλοις βελτίων εἶναι
δόξεις. μὴ φαίνου φιλοτιμούμενος ἐπὶ τοῖς τοιού-
τοις, ἃ καὶ τοῖς κακοῖς διαπράξασθαι δυνατόν
ἐστιν, ἀλλ' ἐπ' ἀρετῇ μέγα φρονῶν, ἧς οὐδὲν μέρος
τοῖς πονηροῖς μέτεστι. νόμιζε τῶν τιμῶν ἀληθεστά-
τας εἶναι, μὴ τὰς ἐν τῷ φανερῷ μετὰ δέους γινο-
μένας, ἀλλ' ὅταν αὐτοὶ παρ' αὑτοῖς ὄντες, μᾶλλόν
σου τὴν γνώμην, ἢ τὴν τύχην θαυμάζωσι. λανθάνε
μὲν ἐὰν ἐπί τῳ σοι συμβῇ τῶν φαύλων χαίρειν, ἐν-
δείκνυσο δὲ περὶ τὰ μέγιστα σπουδάζων. μὴ τοὺς μὲν
ἄλλους ἀξίου κοσμίως ζῆν, τοὺς δὲ βασιλέας ἀτάκ-
τως, ἀλλὰ τὴν σεαυτοῦ σωφροσύνην παράδει-
γμα τοῖς ἄλλοις καθίστη, γιγνώσκων ὅτι τὸ τῆς πό-
λεως ὅλης ἦθος ὁμοιοῦται τοῖς ἄρχουσι. σημεῖον

sit tibi recte regnandi, si subditos uideas ditiores, & modestiores effectos ob tuam diligentiam. pluris fac gloriam, quàm opes magnas filijs relinquere: hæ quippe mortales. illa autem immortalis; & gloria quidem pecuniæ parantur, gloria uero pecunijs non uenditur: & hæ quidem & vilibus adsunt, hæc autem non potest aliter quàm ab excellentibus comparari. Delicatus quidem sis uestibus, & circa corpus ornamentis, tolerans autem, vt decet reges, in alijs exercitijs, ut te quidem uidentes, ex aspectu dignum te principatu esse putent, tecum uero habitantes, ob tuam animi fortitudinem eandem illis sententiam habeant. Considera sermones semper tuos & opiniones, vt quàm minimis erratis concidas. Optimum quidem est summas occasiones assequi, quoniam vero difficilem cogitationem habent, deficere elige & non excedere: nam mediocritates magis in defectibus quàm excessibus possunt. Vrbanus esse tenta & grauis. hoc enim tyrannidem decet, illud ad congressus facit, difficilium autem hoc omnium est rerum. inuenies enim vt plurimum, grauitate præditos frigidos existentes, volentes autem vrbanos esse, humiles apparentes. oportet autem vti quidem ambabus formis istis, calamitatem autem utriusque coniunctam effugere. Siquid exquisite scire

ἔσωσι τοῦ καλῶς βασιλεύειν, ἐὰν τοὺς ἀρχομένους ὁρᾷς εὐπορωτέρους, καὶ σωφρονεστέρους γινομένους, διὰ τὴν σὴν ἐπιμέλειαν. περὶ πλείονος ποιοῦ δόξαν καλὴν, ἢ πλοῦτον μέγαν τοῖς παισὶ καταλιπεῖν. ὁ μὲν γὰρ θνητὸς, ἡ δὲ ἀθάνατος. καὶ δόξῃ μὲν χρήματα κτητὰ, δόξα δὲ χρημάτων οὐκ ὠνητή. καὶ τὰ μὲν καὶ τοῖς φαύλοις παραγίνεται, τὴν δὲ οὐχ οἷόν τε ἀλλ᾽ ἢ τοὺς διενεγκόντας κτήσασθαι. τρύφα μὲν ταῖς ἐσθῆσι, καὶ τοῖς περὶ τὸ σῶμα κόσμοις, καρτέρει δὲ ὡς χρὴ τοὺς βασιλέας ἐν τοῖς ἄλλοις ἐπιτηδεύμασιν. ἵνα οἱ μὲν ὁρῶντες διὰ τὴν ὄψιν, ἄξιόν σε τῆς ἀρχῆς εἶναι νομίζωσιν, οἱ δὲ συνόντες διὰ τὴν τῆς ψυχῆς ῥώμην, τὴν αὐτὴν ἐκείνοις γνώμην ἔχωσιν. ἐπισκόπει τοὺς λόγους ἀεὶ τοὺς σαυτοῦ, καὶ τὰς πράξεις, ἵν᾽ ὡς ἐλαχίστοις τοῖς ἁμαρτήμασι περιπίπτῃς. κράτιστον μὲν τῆς ἀκμῆς τῶν καιρῶν τυγχάνειν. ἐπειδὴ δὲ δυσκαταμαθήτως ἔχουσιν, ἐλλείπειν αἱροῦ, καὶ μὴ πλεονάζειν. αἱ γὰρ μετριότητες μᾶλλον ἐν ταῖς ἐνδείαις, ἢ ταῖς ὑπερβολαῖς ἰσχύουσιν. ἀστεῖος εἶναι πειρῶ, καὶ σεμνός. τὸ μὲν γὰρ, τυραννίδι πρέπει, τὸ δὲ, πρὸς τὰς συνουσίας ἁρμόττει. χαλεπώτατον δὲ τοῦτο πάντων ἐστὶ πραγμάτων. εὑρήσεις γὰρ ὡς ἐπιπολὺ, τοὺς μὲν σεμνυνομένους ψυχροὺς ὄντας, τοὺς δὲ βουλομένους ἀστείους εἶναι, ταπεινοὺς φαινομένους. δεῖ δὲ χρῆσθαι μὲν ἀμφοτέραις ταῖς ἰδέαις ταύταις, τὴν δὲ συμφορὰν τὴν ἑκατέρας προσοῦσαν διαφεύγειν. ὅτι ἂν ἀκριβῶς εἰδέ-

vis eorum quæ scire conuenit reges experientia aggredere & philosophia: nam philosophari, vias tibi ostendet, in ipsis autem operibus exerceri, posse te vti rebus faciet. Contemplare quæ fiunt, & contingunt, & priuatis & tyrannis. si enim præterita memineris, melius & de futuris consules. Graue existima, priuatorum quidem velle quosdam mori, vt defuncti laudentur, Reges autem non audere vti studijs his ex quibus viuentes commendentur. Velis imagines virtutis monumentum magis quàm corporis relinquere. Maxime quidem enitere securitatem tibi ipsi & ciuitati conseruare, si vero coactus sis periclitari, elige pulchre mori potius quàm viuere turpiter. It omnibus operibus recordare regni, & cogita quomodo nihil indignum honore hoc facias. Ne despicias tuam ipsius naturam simul omnem dissoluendam: sed quoniam mortale corpus sortitus es, immortalem vero animam, enitere animæ immortalem memoriam relinquere. Meditare de bonis studijs dicere, vt consuescas similia dictis sapere. Quæ vero tibi consideranti apparent optima, eadem operibus perfice. Quorum glorias æmularis, imitare facta. quæ filijs tuis consuleres, his ipse immanere dignum puta. Vtere dictis, vel inquire meliora

ναι βούλοι, ὧν ἐπίστασθαι προσήκει τοὺς βασιλέας, ἐμπειρίᾳ μέτιθι, καὶ φιλοσοφίᾳ. τὸ μὲν γὰρ φιλοσοφεῖν τὰς ὁδούς σοι δείξει, τὸ δὲ ἐπ' αὐτῶν τῶν ἔργων γυμνάζεσθαι, δύνασθαί σε χρῆσθαι τοῖς πράγμασι ποιήσει. θεώρει τὰ γινόμενα καὶ τὰ συμπίπτοντα, καὶ τοῖς ἰδιώταις, καὶ τοῖς τυράννοις. ἐὰν γὰρ τὰ παρεληλυθότα μνημονεύῃς, ἄμεινον καὶ περὶ τῶν μελλόντων βουλεύσῃ. δεινὸν ἡγοῦ τῶν μὲν ἰδιωτῶν ἐθέλειν τινὰς ἀποθνήσκειν, ἵνα τελευτήσαντες ἐπαινεθῶσι, τοὺς δὲ βασιλέας μὴ τολμᾶν χρῆσθαι τοῖς ἐπιτηδεύμασι τούτοις, ἐξ ὧν ζῶντες εὐδοκιμήσουσιν. βούλου τὰς εἰκόνας τῆς ἀρετῆς ὑπόμνημα μᾶλλον, ἢ τοῦ σώματος καταλιπεῖν. μάλιστα μὲν πειρῶ τὴν ἀσφάλειαν σεαυτῷ καὶ τῇ πόλει διαφυλάττειν, ἐὰν δὲ ἀναγκασθῇς κινδυνεύειν, αἱροῦ καλῶς τεθνάναι μᾶλλον, ἢ ζῆν αἰσχρῶς. ἐν ἅπασι τοῖς ἔργοις μέμνησο τῆς βασιλείας, καὶ φρόντιζε, ὅπως μηδὲν ἀνάξιον τῆς τιμῆς ταύτης ποιήσῃς. μὴ περιίδῃς τὴν σαυτοῦ φύσιν ἅμα πᾶσαν διαλυθεῖσαν, ἀλλ' ἐπειδὴ θνητοῦ σώματος ἔτυχες, ἀθανάτου δὲ ψυχῆς, πειρῶ τῆς ψυχῆς ἀθάνατον μνήμην καταλιπεῖν. μελέτα περὶ καλῶν ἐπιτηδευμάτων λέγειν, ἵνα συνεθισθῇς ὅμοια τοῖς εἰρημένοις φρονεῖν. ἃ δ' ἄν σοι λογιζομένῳ φαίνηται βέλτιστα, ταῦτα τοῖς ἔργοις ἐπιτέλει. ὧν τὰς δόξας ζηλοῖς, μιμοῦ τὰς πράξεις. ἃ τοῖς παισὶ τοῖς σεαυτοῦ ἂν συμβουλεύσειας, τούτοις αὐτὸς ἐμμένειν ἀξίου. χρῶ τοῖς εἰρημένοις, ἢ ζήτει βελτίω

iſtis. Sapientes exiſtima non diligenter de paruis contendentes, ſed bene de magnis dicentes: neque alijs quidem felicitatem promittentes, ipſos autem in multis indigentijs exiſtentes: ſed moderata quidem de ſe dicentes, verſari autem, & cum rebus, & cum hominibus valentes: Et non perturbatos in vitæ mutationibus, ſed pulchre & moderate, & calamitates & felicitates ferre ſcientes. Ac non mireris ſi multa dictorum ſunt, quæ & tu cognoſcis. non enim me hoc latuit, ſed ſciebam quòd tot exiſtentibus numero & priuatis & principibus, hi quidem aliquid iſtorum dixerunt, hi uero audierunt, hi autem alios facientes viderunt, quædam autem ipſi ſunt exercentes. ſed enim non in orationibus oportet de ſtudijs, quærere nouitates, in quibus, neque admirabile, neque incredibile, neque extra cogitata, quicquam eſt inuenire: ſed arbitrari hanc eſſe gratioſiſſimam, quæ diſſeminatorum in aliorum cogitationibus congregare plurima queat, & dicere pulcherrime de ipſis. Quoniam & illud mihi manifeſtum fuit quòd conſulentia & poemata & ſcripta vtiliſſima quidem omnes exiſtimant, non tamen libenter admodum ipſa audiunt, ſed idem paſſi ſunt quod erga admonentes. Etenim illos laudant quidem omnes, accedere autem nolunt,

τούτων. σοφοὺς νόμιζε, μὴ τοὺς ἀκριβῶς περὶ μι-
κρῶν ἐρίζοντας, ἀλλὰ τοὺς εὖ περὶ τῶν μεγίστων
λέγοντας. μηδὲ τοὺς τοῖς μὲν ἄλλοις εὐδαιμονίαν
ὑπισχνουμένους, αὐτοὺς δὲ ἐν πολλαῖς ἀπορίαις
ὄντας. ἀλλὰ τοὺς, μέτρια μὲν περὶ αὐτῶν λέγον-
τας, ὁμιλεῖν δὲ καὶ τοῖς πράγμασι καὶ τοῖς ἀν-
θρώποις δυναμένους. καὶ μὴ διαταραττομένους ἐν
ταῖς τοῦ βίου μεταβολαῖς, ἀλλὰ καλῶς καὶ με-
τρίως, καὶ τὰς συμφορὰς, καὶ τὰς εὐτυχίας φέ-
ρειν ἐπισταμένους. καὶ μὴ θαύμαζε εἰ πολλὰ τῶν
εἰρημένων ἐστὶν, ἃ καὶ σὺ γινώσκεις. οὐδὲ γὰρ ἐμὲ
τοῦτο διέλαθεν, ἀλλ᾽ ἠπιστάμην, ὅτι τοσούτων ὄν-
των τὸ πλῆθος, καὶ τῶν ἰδιωτῶν, καὶ τῶν ἀρχόν-
των, οἱ μέν τι τούτων εἰρήκασιν, οἱ δὲ ἀκηκόασιν, οἱ
δὲ ἑτέρους ποιοῦντας ἑωράκασιν, ἔνια δὲ αὐτοὶ
τυγχάνουσιν ἐπιτηδεύοντες. ἀλλὰ γὰρ οὐκ ἐν τοῖς
λόγοις χρὴ τοῖς περὶ τῶν ἐπιτηδευμάτων ζητεῖν
τὰς καινότητας, ἐν οἷς οὔτε παράδοξον, οὔτε ἄπι-
στον, οὔτ᾽ ἔξω τῶν νομιζομένων οὐδέν ἐστιν εὑρεῖν.
ἀλλ᾽ ἡγεῖσθαι τοῦτον εἶναι χαριέστατον, ὃς ἂν τῶν διε-
σπαρμένων ἐν ταῖς τῶν ἄλλων διανοίαις ἀθροῖσαι
τὰ πλεῖστα δυνηθῇ, καὶ φράσαι κάλλιστα περὶ αὐ-
τῶν. ἐπεὶ κἀκεῖνό μοι πρόδηλον ἦν, ὅτι τὰ συμβου-
λεύοντα καὶ τῶν ποιημάτων, καὶ τῶν συγγραμμά-
των, χρησιμώτατα μὲν ἅπαντες νομίζουσιν, οὐ μὴν ἥ-
διστά γε αὐτὰ ἀκούουσιν, ἀλλὰ ταυτὸ πεπόνθασιν,
ὅπερ πρὸς τοὺς νουθετοῦντας. καὶ γὰρ ἐκείνους ἐπαινοῦ-
σι μὲν ἅπαντες, πλησιάζειν δὲ οὐ βούλονται, ἀλ-
sed

sed potius eligunt simul esse cũ deliquentibus, sed non cũ auertentibus. Signum aũt quis facere potest Hesiodi & Theognidis & Phocylidæ poesim. Etenim hos aiunt quidem optimos consultores fuisse vitæ hominum. Hæc autem dicentes eligunt versari cum mutuis dementijs magis quàm cum illorũ admonitionibus. pterea vero si qs eligat & excellẽtiũ poetarũ appellatas sentẽtias, in quib⁹ illi maxime studuerunt, similiter & ad has disponerentur. libentius enim comędiam vitiosissimam quàm tam artificiose conscripta audirent. Et quid oportet in singulo quoq; dicẽtẽ morari? Prorsus. n. si velimus inspicere naturas hominum, inueniemus multos ipsorum neque cibis gaudentes sanissimis, neque studijs pulcherrimis, neque rebus optimis, neque disciplinis vtilissimis: sed omnino contrarias conducenti voluptates sectantes, & apparentes tolerantes esse & laboriosos, conuenientiũ quippiã nõ faciẽtes. Quare qũo qs talibus uel admonẽs, vel docẽs, vel utile aliquid dicẽs placeat? q pter antedicta inuidẽt quidẽ bene sapiẽtibus, simplices aũt ducũt mẽtẽ nõ habentes. Sic autem veritates rerum fugiunt, vt neque sua ipsorum sciant, sed tristantur quidem de proprijs ratiocinantes, gau

λὰ μᾶλλον αἱροῦνται συνεῖναι τοῖς ἐξαμαρτάνουσιν, ἀλλ' οὐ τοῖς ἀποτρέπουσι. σημεῖον δ' ἄν τις ποιήσαιτο τὴν ἡσιόδου, καὶ θεόγνιδος, καὶ φωκυλλίδου ποίησιν. καὶ γὰρ τούτους φασὶ μὲν ἀρίστους συμβούλους γεγενῆσθαι τῷ βίῳ, τῷ τῶν ἀνθρώπων, ταῦτα δὲ λέγοντες αἱροῦνται συνδιατρίβειν ταῖς ἀλλήλων ἀνοίαις μᾶλλον, ἢ ταῖς ἐκείνων ὑποθήκαις. ἔτι δ' εἴ τις ἐκλέξειε καὶ τῶν προεχόντων ποιητῶν τὰς καλουμένας γνώμας, ἐφ' αἷς ἐκεῖνοι μάλιστα ἐσπούδασαν, ὁμοίως ἂν καὶ πρὸς ταύτας διατεθεῖεν. ἥδιον γὰρ ἂν κωμῳδίας τῆς φαυλοτάτης, ἢ τῶν οὕτω τεχνικῶς πεποιημένων ἀκούσαιεν. καὶ τί δεῖ καθ' ἓν ἕκαστον λέγοντα διατρίβειν; ὅλως γὰρ εἰ ἐθέλοιμεν σκοπεῖν τὰς φύσεις τῶν ἀνθρώπων, εὑρήσομεν τοὺς πολλοὺς αὐτῶν οὔτε τῶν σιτίων χαίροντας τοῖς ὑγιεινοτάτοις, οὔτε τῶν ἐπιτηδευμάτων τοῖς καλλίστοις, οὔτε τῶν πραγμάτων τοῖς βελτίστοις, οὔτε τῶν μαθημάτων τοῖς ὠφελιμωτάτοις, ἀλλὰ παντάπασιν ἐναντίας τῷ συμφέροντι τὰς ἡδονὰς ἔχοντας, καὶ δοκοῦντας καρτερικοὺς εἶναι καὶ φιλοπόνους τοὺς τῶν δεόντων τι μὴ ποιοῦντας. ὥστε πῶς ἄν τις τοιούτοις, ἢ παραινῶν, ἢ διδάσκων, ἢ χρήσιμόν τι λέγων ἀρέσκειεν; οἳ πρὸς τοῖς εἰρημένοις λόγοις, φθονοῦσι μὲν τοῖς εὖ φρονοῦσι, ἁπλοῦς δὲ ἡγοῦνται τοὺς νοῦν οὐκ ἔχοντας. οὕτω δὲ τὰς ἀληθείας τῶν πραγμάτων φεύγουσιν, ὥστε οὐδὲ τὰ σφέτερ' αὐτῶν ἴσασιν. ἀλλὰ λυποῦνται μὲν περὶ τῶν ἰδίων λογιζόμενοι, χαιρου-

dent autem de alienis disceptantes. vellent autem corpore male pati magis, quàm animæ laborare, & considerare de aliquo necessariorum. Inueniat autem quis ipsos in mutuis quidem congressibus conuiciantes uel conuiciatos, in solitudinibus autem non consultantes, sed optantes. Dico autem hæc non de omnibus, sed de obnoxijs dictis existentibus. illud ergo manifestum, quod oportet uolentes uel facere uel scribere aliquid gratum multis, non vtilissimas orationes quærere, sed fabulosissimas. audientes enim talia gaudent, considerantes autem certamina, & contentiones dolent. Vnde & Homeri poesim & primo inuenientes tragœdiam dignum est admirari: quòd inspicientes naturam hominum ambabus formis his abusi sunt ad poesim. Hic enim certamina & bella Heroum fabulatus est, Hi vero fabulas in certamina & actiones deduxerunt, vt non solum auditores nos, sed & spectatores fieremus. Talibus igitur exemplis existentibus ostensum est cupientibus auditores delectare, quod ab admonendo & consulendo abstinendum, illa uero scribendum & dicendum, quibus uident turbas gaudere. Hæc autem recensui existimans te oportere non vnum multorum, sed multorum existentem tyrannum, non eandem sententiam habere

σι δὲ περὶ τῶν ἀλλοτρίων διαλεγόμενοι. βούλοιντο δ' ἂν τῷ σώματι κακοπαθῆσαι μᾶλλον, ἢ τῇ ψυχῇ πονῆσαι, καὶ σκέψασθαι περί τινος τῶν ἀναγκαίων. εὕροι δ' ἄν τις αὐτοὺς ἐν μὲν ταῖς πρὸς ἀλλήλους συνουσίαις λοιδοροῦντας, ἢ λοιδορουμένους, ἐν δὲ ταῖς ἐρημίαις οὐ βουλευομένους, ἀλλ' εὐχομένους. λέγω δὲ ταῦτα οὐ κατὰ πάντων, ἀλλὰ κατὰ τῶν ἐνόχων τοῖς εἰρημένοις ὄντων. ἐκεῖνο δ' οὖν φανερὸν, ὅτι δεῖ τοὺς βουλομένους ἢ ποιεῖν ἢ γράφειν τι κεχαρισμένον τοῖς πολλοῖς, μὴ τοὺς ὠφελιμωτάτους τῶν λόγων ζητεῖν, ἀλλὰ τοὺς μυθωδεστάτους. ἀκούοντες μὲν γὰρ τῶν τοιούτων χαίρουσι, θεωροῦντες δὲ τοὺς ἀγῶνας καὶ τὰς ἁμίλλας ἄχθονται. διὸ καὶ τὴν ὁμήρου ποίησιν, καὶ τοὺς πρώτους εὑρόντας τραγῳδίαν ἄξιον θαυμάζειν, ὅτι κατιδόντες τὴν φύσιν τῶν ἀνθρώπων, ἀμφοτέραις ταῖς ἰδέαις ταύταις κατεχρήσαντο πρὸς τὴν ποίησιν. ὁ μὲν γὰρ τοὺς ἀγῶνας καὶ τοὺς πολέμους τῶν ἡμιθέων ἐμυθολόγησεν, οἱ δὲ τοὺς μύθους εἰς ἀγῶνας καὶ πράξεις κατέστησαν, ὥστε μὴ μόνον ἀκουστοὺς ἡμῖν, ἀλλὰ καὶ θεατὰς γενέσθαι. τοιούτων οὖν παραδειγμάτων ὑπαρχόντων, δέδεικται τοῖς ἐπιθυμοῦσι τοὺς ἀκροωμένους ψυχαγωγεῖν, ὅτι τοῦ μὲν νουθετεῖν καὶ συμβουλεύειν ἀφεκτέον, ἐκεῖνα δὲ γραπτέον καὶ λεκτέον, οἷς ὁρῶσι τοὺς ὄχλους χαίροντας. ταῦτα δὲ διῆλθον, ἡγούμενός σε δεῖν οὐχ ἕνα τῶν πολλῶν, ἀλλὰ πολλῶν ὄντα τύραννον, μὴ τὴν αὐτὴν γνώμην ἔχειν

cum

cum alijs, neque studiosas actiones neque bene sapientes homines, voluptatibus dijudicare, sed in actionibus vtilibus ipsos experiri. maximeq; quoniam de exercitijs animi dubitant qui circa philosophiam versantur, & inquiunt, hi quidem per contentiosas orationes, hi vero per ciuiles, hi autem per alia quædam, sapientiores fore ipsis adhærentes: illud autem omnes confitentur, quòd oportet bene eruditum, ex singulo horum fieri consulere valentem. Oportet igitur dimittentem dubitata, in confessum venientem, accipere ipsorum redargutionem, & maxime quidem in occasionibus speculari consulentet: si vero non, vniuersaliter de rebus loquentes, & nihil cognoscentes decentium reprobare. Clarum est enim quod qui nihil sibi vtilis est, neque alium sapientem faciet. Mentem autem habentes: & valentes aspicere plus aliquid alijs plurimi fac & cole, cognoscens quòd consultor bonus vtilissima & maxime regia omnium res est. Existima vero eos tibi maximum facturos regnum, qui cogitationem tuam plurimum iuuare possunt. Ego igitur quæ nosco admonui, & honoro te his quibus sum potens, velis autem & alios, quod dixi incipiens, non consueta adducere tibi

τοῖς

τοῖς ἄλλοις, μηδὲ τὰ σπουδαῖα τῶν πραγμάτων, μηδὲ τοὺς εὖ φρονοῦντας τῶν ἀνθρώπων ταῖς ἡδοναῖς ἀνακρίνειν, ἀλλ᾽ ἐπὶ τῶν πράξεων τῶν χρησίμων αὐτοὺς δοκιμάζειν. ἄλλως τε ἐπειδὴ περὶ τῶν γυμνασίων τῶν τῆς ψυχῆς ἀμφισβητοῦσιν οἱ περὶ τὴν φιλοσοφίαν διατρίβοντες, καὶ φασὶν, οἱ μὲν διὰ τῶν ἐριστικῶν λόγων, οἱ δὲ διὰ τῶν πολιτικῶν, οἱ δὲ δι᾽ ἄλλων τινῶν φρονιμωτέρους ἔσεσθαι τοὺς αὐτοὺς πλησιάζοντας, ἐκεῖνο δὲ πάντες ὁμολογοῦσιν ὅτι δεῖ τὸν καλῶς πεπαιδευμένον, ἐξ ἑκάστου τούτων γενέσθαι συμβουλεύεσθαι δυνάμενον. χρὴ τοίνυν ἀφέμενον τῶν ἀμφισβητουμένων ἐπὶ τὸ ὁμολογούμενον ἐλθόντα λαμβάνειν αὐτῶν τὸν ἔλεγχον, καὶ μάλιστα μὲν ἐπὶ τῶν καιρῶν θεωρεῖν τοὺς συμβουλεύοντας, εἰ δὲ μὴ, τοὺς καθόλου περὶ τῶν πραγμάτων λέγοντας, καὶ τοὺς μηδὲν γιγνώσκοντας τῶν δεόντων ἀποδοκίμαζε. δῆλον γὰρ ὡς ὁ μηδὲν ὢν αὐτῷ χρήσιμος, οὐδ᾽ ἂν ἄλλον φρόνιμον ποιήσειεν. τοὺς δὲ νοῦν ἔχοντας καὶ δυναμένους ὁρᾶν πλέον τι τῶν ἄλλων περὶ πολλοῦ ποιοῦ, καὶ θεράπευε, γιγνώσκων ὅτι σύμβουλος ἀγαθὸς χρησιμώτατον, καὶ τυραννικώτατον ἁπάντων κτημάτων ἐστίν. ἡγοῦ δὲ τούτους σοὶ μεγίστην ποιήσειν τὴν βασιλείαν, οἵτινες ἂν τὴν διάνοιαν τὴν σὴν πλεῖστα ὠφελῆσαι δυνηθῶσιν. ἐγὼ μὲν οὖν ἅπερ γινώσκω παρῄνεσα, καὶ τιμᾶ σε τούτοις, οἷς τυγχάνω δυνάμενος. βούλου δὲ καὶ τοὺς ἄλλους ὅπερ εἶπον ἀρχόμενος, μὴ τὰς εἰθισμένας ἄγειν σοι

mune-

munera, quæ uos multo pluris emitis à donantibus quam à uendentibus, ſed talia quibus ſi valde utaris, & nullum diem intermittas, non conſumes, ſed maiora & pluris digna exiſtentia ipſa facies.

NICOCLES VEL AVXILIARIS.



Vnt aliqui qui difficiles ſe exhibent aduerſus orationes, & vituperant philoſophantes, & dicunt ipſos non uirtutis, ſed diuitiarum cauſa facere talia exercitia. libenter igitur interrogarem ita affectos, cur bene quidem dicere cupientes fugiunt, recte autem agere cònſulentes laudant. Si enim diuitiæ contriſtant ipſos, plures & maiores ex operibus quam orationibus inueniemus factas. Deinde & illud abſurdum, Si latuit ipſos quòd deos colimus, & iuſtitiam exercemus, & alijs virtutibus operam damus, non ut alijs minus habeamus, ſed ut cum quamplurimis bonis uitam degamus. Quare non accuſandæ ſunt hæ res, quibus aliquis cum virtute plus habeat: Sed homines circa actiones peccantes, uel orationibus decipientes, nec iuſte utentes ipſius.

δωρεὰς.

δωρεάς. ἃς ὑμεῖς πολὺ πλείονος ἀγαπᾶτε παρὰ τῶν διδόντων, ἢ πωλούντων, ἀλλὰ τοιαύτας, αἷς ἐὰν σφόδρα χρήσῃ, καὶ μηδεμίαν ἡμέραν διαλίπῃς, οὐ κατατρίψεις, ἀλλὰ μείζους καὶ πλείονος ἀξίας οὔσας αὐτὰς ποιήσεις.

ΝΙΚΟΚΛΗΣ Η ΣΥΜΜΑΧΙΚΟΣ.



Εἰσί τινες, οἳ δυσκόλως ἔχουσι πρὸς τοὺς λόγους, καὶ διαμέμφονται τοὺς φιλοσοφοῦντας. καὶ φασὶν αὐτοὺς οὐκ ἀρετῆς, ἀλλὰ πλεονεξίας ἕνεκα ποιεῖσθαι τὰς τοιαύτας διατριβάς. ἡδέως ἂν οὖν πυθοίμην τῶν οὕτω διακειμένων, διατὶ τοὺς μὲν εὖ λέγειν ἐπιθυμοῦντας ψέγουσι, τοὺς δ' ὀρθῶς πράττειν βουλομένους ἐπαινοῦσιν. εἰ γὰρ αἱ πλεονεξίαι λυποῦσιν αὐτούς, πλείους καὶ μείζους ἐκ τῶν ἔργων, ἢ τῶν λόγων εὑρήσομεν γιγνομένας. ἔπειτα κἀκεῖνο ἄτοπον, εἰ λέληθεν αὐτούς, ὅτι τὰ περὶ τοὺς θεοὺς εὐσεβοῦμεν, καὶ τὴν δικαιοσύνην ἀσκοῦμεν, καὶ τὰς ἄλλας ἀρετὰς ἐπιτηδεύομεν, οὐχ ἵνα τῶν ἄλλων ἔλαττον ἔχωμεν, ἀλλ' ὅπως ἂν ὡς μετὰ πλείστων ἀγαθῶν τὸν βίον διάγωμεν. ὥστε οὐ κατηγορητέον τούτων τῶν πραγμάτων ἐστὶν, ὧν ἄν τις μετ' ἀρετῆς πλεονεκτήσειεν, ἀλλὰ τῶν ἀνθρώπων τῶν περὶ τὰς πράξεις ἐξαμαρτανόντων, ἢ τοῖς λόγοις ἐξαπατώντων, καὶ μὴ δικαίως χρωμένων αὐτοῖς.

admiror autem talem sententiam habentes quomodo non & opes, & robur, & fortitudinem mala dicant: siquidem ob decipientes & mentientes, erga orationes difficiles se exhibent, conuenit & alia bona ipsos increpare. Apparebunt enim aliqui & hæc possidentium delinquentes & multis ob ea malefacientes. sed enim non est iustum, neque, siqui obuios verberent, robur accusare, neque, ob interficientes, fortitudinem vituperare, nec denique hominum malitiam ad res transferre: verum ipsos illos vituperare, qui bonis male vtuntur, & iuuare valentibus his lædere conciues aggrediuntur. Nunc autem negligentes hoc modo de vnoquoque diffinire, ad omnes orationes difficiles se exhibent, & intantum aberrarunt, vt non sentiant tali rei inimicos se exhibere, quæ omnium existentium in hominum natura, plurimorum bonorum causa est. Siquidem alijs quæ habemus, nihil ab alijs animalibus differimus, sed multo & celeritate, & robore, & alijs facultatibus inferiores sumus existentes. Ingenito autem nobis suadere nobis vicissim, & declarare ad nos ipsos de quibus voluerimus, non solum à ferino viuere liberati sumus, sed etiam conuenientes

θαυμάζω δὲ τῶν ταύτην τὴν γνώμην ἐχόντων, ὅπως οὐ καὶ τὸν πλοῦτον, καὶ τὴν ῥώμην, καὶ τὴν ἀνδρίαν κακῶς λέγουσιν. εἴπερ γὰρ διὰ τοὺς διαπράττοντας καὶ τοὺς ψευδομένους πρὸς τοὺς λόγους χαλεπῶς ἔχουσι, προσήκει καὶ τοῖς ἄλλοις ἀγαθοῖς αὐτοὺς ἐπιτιμᾶν. φανήσονται γάρ τινες καὶ τῶν ταῦτα κεκτημένων ἐξαμαρτάνοντες, καὶ πολλοὺς διὰ τούτων κακῶς ποιοῦντες. ἀλλὰ γὰρ οὐ δίκαιον, οὐδ᾽ εἴ τινες τοὺς ἀπαντῶντας τύπτοιεν, τῆς ῥώμης κατηγορεῖν, οὔτε διὰ τοὺς ἀποκτιννύντας, τὴν ἀνδρίαν λοιδορεῖν, οὐδ᾽ ὅλως τὴν τῶν ἀνθρώπων πονηρίαν ἐπὶ τὰ πράγματα μεταφέρειν, ἀλλ᾽ αὐτοὺς ἐκείνους ψέγειν, ὅσοι τοῖς ἀγαθοῖς κακῶς χρῶνται, καὶ τοῖς ὠφελεῖν δυναμένοις, τούτοις βλάπτειν τοὺς συμπολιτευομένους ἐπιχειροῦσι. νῦν δ᾽ ἀμελήσαντες τοῦτον τὸν τρόπον περὶ ἑκάστου διορίζεσθαι, πρὸς ἅπαντας τοὺς λόγους δυσκόλως διάκεινται. καὶ τοσοῦτον διημαρτήκασιν, ὥστε οὐκ αἰσθάνονται τοιούτῳ πράγματι δυσμενῶς ἔχοντες, ὃ πάντων τῶν ὄντων ἐν τῇ τῶν ἀνθρώπων φύσει πλείστων ἀγαθῶν αἴτιόν ἐστι. τοῖς μὲν γὰρ ἄλλοις, οἷς ἔχομεν, οὐδὲν τῶν ἄλλων ζώων διαφέρομεν, ἀλλὰ πολλῶν καὶ τῷ τάχει, καὶ τῇ ῥώμῃ, καὶ ταῖς ἄλλαις εὐπορίαις καταδεέστεροι τυγχάνομεν ὄντες. ἐγγενομένου δ᾽ ἡμῖν τοῦ πείθειν ἀλλήλους, καὶ δηλοῦν πρὸς ἡμᾶς αὐτοὺς περὶ ὧν ἂν βουληθῶμεν, οὐ μόνον τοῦ θηριωδῶς ζῆν ἀπηλλάγημεν, ἀλλὰ καὶ συνελθόντες

vrbes extruximus, & leges posuimus, & artes inuenimus, & ferè omnia per nos machinata, oratio nobis est quæ construxit. Hæc enim & de iustis, & de iniustis, & de turpibus, & de pulchris legem posuit, quibus non dispositis, non poteramus habitare inter nos. Hac & malos redarguimus, & bonos commendamus. & per hanc & ignaros erudimus, & prudentes experimur: nam dicere sicut oportet, sapiendi bene maximũ signũ facimus. Et oratio vera & legitima & iusta, animi boni & fidelis imago est. Cum hac, & de dubijs contendimus, & de ignotis consideramus. nam probationibus quibus alios dicentes suademus, eisdem ipsis & de alijs consulentes vtimur. Et oratores quidem vocamus in multitudine dicere valentes. prudentes autẽ putamus quicunque ipsi ad se ipsos optime de rebus disputarint. Si uero oportet summatim de facultate hac dicere, nihil sapienter factorum inueniemus sine oratione factum: sed & operum & cogitationum omnium ducem orationem existentem, & maxime vtentes ipsa, plurimam mentem habentes. Quare audientes conuitia dicere de erudientibus & philosophantibus, similiter dignum est odire, vt

πόλεις ᾠκήσαμεν, καὶ νόμους ἐθέμεθα, καὶ τέχνας
εὕρομεν. καὶ σχεδὸν ἅπαντα τὰ δι᾽ ἡμῶν μεμηχα-
νημένα λόγος ἡμῖν ἐστιν ὁ συγκατασκευάσας. οὗ-
τος γὰρ καὶ περὶ τῶν δικαίων, καὶ περὶ τῶν
ἀδίκων, καὶ τῶν αἰσχρῶν καὶ τῶν καλῶν ἐνομο-
θέτησεν. ὧν μὴ διαταχθέντων, οὐκ ἂν οἷοί τε ἦμεν
οἰκεῖν μετ᾽ ἀλλήλων. τούτῳ καὶ τοὺς κακοὺς ἐξε-
λέγχομεν, καὶ τοὺς ἀγαθοὺς ἐγκωμιάζομεν, διὰ
τούτου τούς τε ἀνοήτους παιδεύομεν, καὶ τοὺς
φρονίμους δοκιμάζομεν. τὸ γὰρ λέγειν ὡς δεῖ, τοῦ
φρονεῖν, εὖ μέγιστον σημεῖον ποιούμεθα. καὶ λόγος
ἀληθὴς, καὶ νόμιμος, καὶ δίκαιος, ψυχῆς ἀγαθῆς,
καὶ πιστῆς εἴδωλόν ἐστι. μετὰ τούτου καὶ περὶ
τῶν ἀμφισβητησίμων ἀγωνιζόμεθα, καὶ περὶ τῶν
ἀγνοουμένων σκοπούμεθα. ταῖς γὰρ πίστεσιν αἷς
τοὺς ἄλλους λέγοντες πείθομεν, ταῖς αὐταῖς
ταύταις καὶ περὶ τῶν ἄλλων βουλευόμενοι χρώ-
μεθα. καὶ ῥητορικοὺς μὲν καλοῦμεν τοὺς ἐν τῷ
πλήθει λέγειν δυναμένους, εὐβούλους δὲ νομίζο-
μεν, οἵτινες ἂν αὐτοὶ πρὸς αὐτοὺς ἄριστα περὶ τῶν
πραγμάτων διαλεχθῶσιν. εἰ δὲ δεῖ συλλήβδην
περὶ τῆς δυνάμεως ταύτης εἰπεῖν, οὐδὲν τῶν φρο-
νίμως πραττομένων εὑρήσομεν ἀλόγως γιγνόμε-
νον, ἀλλὰ καὶ τῶν ἔργων, καὶ τῶν διανοημάτων
ἁπάντων ἡγεμόνα τὸν λόγον ὄντα, καὶ μάλιστα χρω-
μένους αὐτῷ τοὺς πλεῖστον νοῦν ἔχοντας. ὥστε τοὺς
τολμῶντας βλασφημεῖν περὶ τῶν παιδευόντων
καὶ φιλοσοφούντων, ὁμοίως ἄξιον μισεῖν, ὥσπερ

in deorum templa peccantes. Ego autem amplector quidem omnes orationes, etiam parum nos iuuare valentes. cæterum & pulcherrimas duco, & valde regias, & maxime conuenientes mihi, de studijs & rebus ciuilibus admonentes: Et harum ipsarum quæcunque docent, & potentes, vt conuenit multitudine vti: & priuatos, vt oportet erga principes disponi: etenim his video ciuitates felicissimas & maximas effectas. Alteram igitur orationem, vt oportet regnare, Isocratis audistis, sequentem autem, quæ conueniat facere subditos, ego tentabo percurrere, non vt illum superaturus, sed vt conueniens mihi de his maxime disceptare apud vos. Si enim me non declarante quæ volo facere vos, aberraretis à mea sententia, non merito vobis irascerer. sin autem prædicente me, nihil fiat tale, iuste iam non obtemperantes accusarem. Arbitror autem ita maxime prouocare & adhortari ad recordandum vos dicta, & obedire ipsis: non si circa consultationes solum verser, & his enumeratis, discedam, sed si pariter insuper ostendam, primum quidem rempub. præsentem vt dignum sit amare, non solum ob necessitatem, neque quòd omne tempus cum hac habitamus, sed quod & opti-

τοὺς εἰς τὰ τῶν θεῶν ἔδη ἐξαμαρτάνοντας. ἐπεὶ δ᾽ ἀποδέχομαι μὲν πάντας τοὺς λόγους καὶ κατὰ μικρὸν ἡμᾶς ὠφελεῖν δυναμένους. οὐ μὴν ἀλλὰ καὶ καλλίστους ἡγοῦμαι καὶ βασιλικωτάτους, καὶ μάλιστα πρέποντας ἐμοὶ, τοὺς περὶ τῶν ἐπιτηδευμάτων, καὶ τῶν πολιτειῶν παραινοῦντας, καὶ τούτων αὐτῶν, ὅσοι διδάσκουσι τούς τε δυναστεύοντας, ὡς δεῖ τῷ πλήθει χρῆσθαι, καὶ τοὺς ἰδιώτας, ὡς χρὴ πρὸς ἄρχοντας διακεῖσθαι. καὶ γὰρ τούτων ὁρῶ τὰς πόλεις εὐδαιμονεστάτας καὶ μεγίστας γιγνομένας. τὸν μὲν οὖν ἕτερον λόγον ὡς χρὴ τυραννεῖν, ἰσοκράτους ἠκούσατε, τὸν δὲ ἐχόμενον, ἃ δεῖ ποιεῖν τοὺς ἀρχομένους, ἐγὼ πειράσομαι διελθεῖν, οὐχ ὡς ἐκεῖνον ὑπερβαλούμενος, ἀλλ᾽ ὡς προσῆκόν μοι περὶ τούτων μάλιστα διαλεχθῆναι πρὸς ὑμᾶς. εἰ μὲν γὰρ ἐμοῦ μὴ δηλώσαντος ἃ βούλομαι ποιεῖν ὑμᾶς, διαμαρτάνοιτε τῆς ἐμῆς γνώμης, οὐκ ἂν εἰκότως ὑμῖν ὀργιζοίμην, εἰ δὲ προειπόντος ἐμοῦ μηδὲν γίνοιτο τοιοῦτον, δικαίως ἂν ἤδη τοῖς μὴ πειθομένοις μεμφοίμην. ἡγοῦμαι δ᾽ οὕτω ἂν μάλιστα παρακαλέσαι καὶ προτρέψαι πρὸς τὸ μνημονεύειν ὑμᾶς τὰ ῥηθέντα, καὶ πειθαρχεῖν αὐτοῖς, οὐκ εἰ περὶ τὸ συμβουλεύειν μόνον γενοίμην, καὶ ταῦτ᾽ ἀπαριθμήσας ἀπαλλαγείην, ἀλλ᾽ εἰ προσεπιδείξαιμι, πρῶτον μὲν τὴν πολιτείαν τὴν παροῦσαν ὡς ἀξιόν ἐστιν ἀγαπᾶν, οὐ μόνον διὰ τὴν ἀνάγκην, οὐδ᾽ ὅτι πάντα τὸν χρόνον μετὰ ταύτης οἰκοῦμεν, ἀλλ᾽ ὅτι καὶ βελτί-

ma aliarum rerumpub. est. Deinde vt ego hunc habeo principatum non illegitime, neq; alienum, sed sancte & iuste, & ab initio, per maiores, & per patrem, & per meipsum. His enim ante demonstratis, non est quispiam qui non ipse se condemnet maxima iactura, si non obtemperet à me consultis & imperatis. De rebus itaque publicis (hinc enim supponens incepi) arbitror omnibus videri grauissimum quidem esse eorundem dignos æstimare bonos & malos, iustissimum autem, definire de his, nec dissimiles similia consequi. sed & tractare & æstimare pro dignitate singulos. Igitur paucorum principatus, & populi dominatio æqualitates participantibus rerumpub. quærunt. Et hoc approbatur ab eis, si nullus alio possit plus habere, quod malis conferens est. At vero vnius principatus plurimum quidē tribuit optimo, secundum autem, illi qui est post illum, tertium autem, & quartum, & alijs, secundum eandem rationem. Atque hæc si non vbique constitutum est, saltem voluntas reipub. talis est. At certe si oportet dispicere & naturas hominum, & actiones, & omnes regna magis præstare consiterentur. Et sanè quis non optaret bene sentientium, talis reipublicæ participem esse, in qua non delitescat bonus existens, magis q̄

ἐστὶ τῶν ἄλλων πολιτειῶν, ἔπειθ' ὡς ἐγὼ ταύτην ἔχω τὴν ἀρχὴν οὐ παρανόμως, οὐδ' ἀλλοτρίαν. ἀλλ' ὁσίως καὶ δικαίως, καὶ διὰ τοὺς ἐξ ἀρχῆς προγόνους, καὶ διὰ τὸν πατέρα, καὶ δι' ἐμαυτόν. τούτων γὰρ προαποδειχθέντων, οὐκ ἔστιν ὅστις οὐκ αὐτὸν αὑτοῦ καταγνώσεται τὴν μεγίστην ζημίαν, ἐὰν μὴ πειθαρχῇ τοῖς ὑπ' ἐμοῦ συμβουλευθεῖσι καὶ προσταχθεῖσι. περὶ μὲν οὖν τῶν πολιτειῶν, ἐντεῦθεν γὰρ ὑποθέμενος ἠρξάμην, οἶμαι πᾶσι δοκεῖν δεινότατον μὲν εἶναι, τὸ τῶν αὐτῶν ἀξιοῦσθαι τοὺς χρηστοὺς καὶ τοὺς πονηρούς, δικαιότατον δὲ, τὸ διορίζεσθαι περὶ τούτων, καὶ μὴ τοὺς ἀνομοίους τῶν ὁμοίων τυγχάνειν, ἀλλὰ καὶ πράττειν, καὶ τιμᾶσθαι κατὰ τὴν ἀξίαν ἑκάστους. αἱ μὲν τοίνυν ὀλιγαρχίαι καὶ δημοκρατίαι τὰς ἰσότητας τοῖς μετέχουσι τῶν πολιτειῶν ζητοῦσι. καὶ τοῦτο εὐδοκιμεῖ παρ' αὐταῖς, ἐὰν μηδὲν ἕτερος ἑτέρου δύνηται πλέον ἔχειν, ὃ τοῖς πονηροῖς συμφέρον ἐστίν. αἱ δὲ μοναρχίαι, πλεῖστον μὲν νέμουσι τῷ βελτίστῳ, δεύτερον δὲ τῷ μετ' ἐκεῖνον, τρίτον δὲ καὶ τέταρτον, καὶ τοῖς ἄλλοις κατὰ τὸν αὐτὸν λόγον καὶ ταῦτα, εἰ μὴ πανταχοῦ καθέστηκεν, ἀλλὰ τό γε βούλημα τῆς πολιτείας τοιοῦτόν ἐστι. καὶ μὴν εἰ δεῖ διορᾶν καὶ τὰς φύσεις τῶν ἀνθρώπων, καὶ τὰς πράξεις, ἅπαντες ἂν τὰς τυραννίδας μᾶλλον ὑπὲρ ἔχειν ὁμολογήσαιμεν. καί τοι τίς οὐκ ἂν εὔξαιτο τῶν εὖ φρονούντων, τοιαύτης πολιτείας μετέχειν, ἐν ᾗ μὴ διαλήσει χρηστὸς ὢν μᾶλλον ἢ φέ-

fera-,

feratur cum multitudine non cognitus qualis est. Cæterum & mitiorem tanto & iustiorem, iuste ipsam iudicarem.us, quanto facilius est vnius viri sententiæ adhibere mentē potius, quàm multis cogitationibus, & omniquaq; varijs querere placere. Quòd igitur iucundior est & mitior & iustior, per multa quidem aliquis demonstraret. verum & per hæc conspicere facile est. De reliquis autem quantum vnius principatus, & ad consultandum, & ad agendum aliquid necessariorum excellat, ita pulcherrime cōsiderare possumus, si maximas operationes ad sese mutuo ponentes, scrutari aggrediemur ipsas. Qui ergo per annum ad magistratus accedunt, prius priuati fiunt, quàm sentiant aliquid ciuitatis, & sumant experientiam ipsorum: qui vero semper eisdem præsunt, etiam si naturam hebetiorem habeant, tamen experientijs saltem multum alios excedunt. Deinde, hi quidem multa negligunt ad sese reijcientes, hi vero nihil contemnunt, scientes quòd oportet omnia per ipsos fieri. Ad hæc vero, qui quidem in paucorum principatu & populari statu sunt, ob honorum inter seipsos con certationem obsunt communibus: qui vero soli imperant, non habentes cui inuideant, de omnibus, quantum fieri potest, optima peragunt. Deinde illi quidem tardiores sunt rebus, siqui

ἔρχεσθαι μετὰ τοῦ πλήθους, μὴ γιγνωσκομένους ὁποῖός
τις ἐστὶν, ἀλλὰ μὴν καὶ πρᾳοτέρον τοσούτῳ, καὶ
δικαιοτέραν δικαίως ἂν αὐτὴν κρίνοιμεν, ὅσῳπερ
ῥᾷόν ἐστιν ἑνὸς ἀνδρὸς γνώμῃ προσέχειν τὸν νοῦν
μᾶλλον, ἢ πολλαῖς διανοίαις καὶ παντοδαπαῖς
ζητεῖν ἀρέσκειν. ὅτι μὲν οὖν ἡδίων ἐστὶ, καὶ πρᾳο-
τέρα, καὶ δικαιοτέρα, διὰ πλειόνων μὲν ἄν τις ἀπο-
δείξειεν. οὐ μὴν ἀλλὰ καὶ διὰ τούτων συνιδεῖν
ῥᾴδιόν ἐστι. περὶ δὲ τῶν λοιπῶν, ὅσον αἱ μοναρ-
χίαι καὶ πρὸς τὸ βουλεύσασθαι, καὶ πρὸς τὸ
πρᾶξαί τι τῶν δεόντων διαφέρουσιν, οὕτως ἂν κάλ-
λιστα θεωρήσαιμεν, εἰ τὰς μεγίστας τῶν πράξεων
παρ᾽ ἀλλήλας τιθέντες, ἐξετάζειν ἐπιχειρήσαιμεν
αὐτάς. οἱ μὲν τοίνυν κατ᾽ ἐνιαυτὸν εἰς τὰς ἀρχὰς
εἰσιόντες, πρότερον ἰδιῶται γίγνονται, πρὶν αἰ-
σθέσθαι τι τῶν τῆς πόλεως, καὶ λαβεῖν ἐμπειρίαν
αὐτῶν. οἱ δ᾽ ἀεὶ τοῖς αὐτοῖς ἐπιστατοῦντες, ἢν
καὶ τὴν φύσιν καταδεεστέραν ἔχωσιν, ἀλλ᾽ οὖν
ταῖς γε ἐμπειρίαις πολὺ τῶν ἄλλων προέχου-
σιν. ἔπειτα οἱ μὲν πολλῶν καταμελοῦσιν, εἰς ἀλλή-
λους ἀποβλέποντες, οἱ δ᾽ οὐδενὸς ὀλιγωροῦσιν, εἰ-
δότες ὅτι δεῖ πάντα δι᾽ αὐτῶν γίγνεσθαι. πρὸς
δὲ τούτοις, οἱ μὲν ἐν ταῖς ὀλιγαρχίαις, καὶ ταῖς
δημοκρατίαις, διὰ τὰς πρὸς σφᾶς αὐτοὺς φιλο-
τιμίας, λυμαίνονται τοῖς κοινοῖς. οἱ δ᾽ ἐν ταῖς μο-
ναρχίαις ὄντες, οὐκ ἔχοντες ὅτῳ φθονήσουσι, περὶ
ἁπάντων, ὡς οἷόν τ᾽ ἐστὶ τὰ βέλτιστα πράττουσιν.
ἔπειτα οἱ μὲν ὑστεροῦσι τῶν πραγμάτων. τὸν μὲν

dem

idem plurimum tempus circa propria conterunt. postquam vero in confessus venere, pluries quispiam ipsos inueniat differentes, quàm communiter consulentes. Hi vero neque confessibus neq; temporibus ipsis designatis, sed & dies & noctes in actionibus existentes, non destituuntur ab occasionibus, sed vnumquodque in decenti faciunt. Præterea illi quidem inter se inimice habent, & vellent & ante se imperantes, & secum, quàm pessime administrasse ciuitatem, vt quam maximam gloriam ipsi accipiant. Hi autem per totam vitam domini rerum existentes, in omne tempus & beneuolentias similiter habent. hoc autem maximum est omnium. nam communibus hi quidem, vt proprijs, illi vero, vt alienis adhibent mētem. Et consultoribus vtuntur de ipsis, illi quidem ciuium audacissimis, hi vero ex omnibus eligunt sapientissimos. Et honorant illi quidem in turbis dicere potentes: Hi vero vti rebus scientes. Non solum autem in consuetis & singulo die factis, vnius principatus excellunt. sed & in bello prærogatiuas omnes complexi sunt. Etenim præparasse vires, & vti ipsis, vt & lateat & appareat, & hos quidem persuadere, illos autem cogi, ab his autem emere, illos vero alijs obsequijs conciliare, magis regna alijs rebus publicis queunt.

γὰρ πλεῖστον χρόνον, ἐπὶ τοῖς ἰδίοις διατρίβουσιν. ἐπειδὰν δὲ εἰς τὰ συνέδρια συνέλθωσιν, πλεονάκις ἄν τις αὐτοὺς εὕροι διαφερομένους, ἢ κοινῇ βουλευομένους. οἱ δ' οὔτε συνεδρίων, οὔτε χρόνων αὐτοῖς ἀποδεδειγμένων, ἀλλὰ καὶ τὰς ἡμέρας καὶ τὰς νύκτας ἐπὶ ταῖς πράξεσιν ὄντες, οὐκ ἀπολείπονται τῶν καιρῶν, ἀλλ' ἕκαστον ἐν τῷ δέοντι πράττουσιν. ἔτι δ' οἱ μὲν, πρὸς ἀλλήλους δυσμενῶς ἔχουσι, καὶ βούλοιντ' ἂν καὶ τοὺς πρὸ αὐτῶν ἄρχοντας, καὶ τοὺς ἐφ' ἑαυτοῖς ὡς κάκιστα διοικῆσαι τὴν πόλιν, ἵν' ὡς μεγίστην δόξαν αὐτοὶ λαμβάνωσιν, οἱ δὲ, διαπαντὸς τοῦ βίου κύριοι τῶν πραγμάτων ὄντες, εἰς πάντα τὸν χρόνον καὶ τὰς εὐνοίας ὁμοίως ἔχουσι. τὸ δὲ μέγιστον πάντων, τοῖς γὰρ κοινοῖς οἱ μὲν ὡς ἰδίοις. οἱ δὲ ὡς ἀλλοτρίοις προσέχουσι τὸν νοῦν. καὶ συμβούλοις χρῶνται περὶ αὐτῶν, οἱ μὲν τῶν ἀστῶν τοῖς τολμηροτάτης, οἱ δ' ἐξ ἁπάντων ἐκλεξάμενοι τοὺς φρονιμωτάτους. καὶ τιμῶσιν, οἱ μὲν τοὺς ἐν τοῖς ὄχλοις εἰπεῖν δυναμένους, οἱ δὲ, τοὺς χρῆσθαι τοῖς πράγμασιν ἐπισταμένους. οὐ μόνον δ' ἐν τοῖς ἐγκυκλίοις καὶ τοῖς καθ' ἡμέραν γιγνομένοις αἱ μοναρχίαι διαφέρουσιν, ἀλλὰ καὶ τὰς ἐν τῷ πολέμῳ πλεονεξίας ἁπάσας περιειλήφασι. καὶ γὰρ παρασκευάσασθαι δυνάμεις, καὶ χρῆσθαι ταύταις, ὥστε καὶ λαθεῖν καὶ φθῆναι, καὶ τοὺς μὲν, πεῖσαι, τοὺς δὲ βιάσασθαι, παρὰ δὲ τῶν ἐπρίασθαι, τοὺς δὲ, ταῖς ἄλλαις θεραπείαις προσάγεσθαι, μᾶλλον αἱ τυραννίδες τῶν ἄλλων πολιτειῶν οἷαί τ' εἰσί.

Atque

Atq; hac ex operibus aliquis non minus quàm verbis credat. Hoc enim, Persarum potentiam, omnes scimus tantam magnitudine effectam, non ob virorum prudentiam, sed quia plus alijs regiam dignitatem colunt. Hoc vero, Dionysium tyrannum, qui suscipiens aliam quidem Siciliam deuastatam effectam, ipsius autem patriam obsessam, non solum ipsam ab instantibus periculis liberauit, sed & maximam græcarũ ciuitatum effecit. Amplius autem Carthaginenses & Lacedæmonios optime Græcorum rempub. administrantes, domi quidem paucorum principatu, ad bellum vero rege vtentes. Habet autem quis ostendere, & vrbem Atheniensium maxime regnum auersantem, quando multos emittit imperatores, impotem voti, quando autem per vnum facit periculum, egregie facientem. Iam vero quo pacto quis manifestius ostendat quam per hæc exempla pluris vnius principatus dignos esse, videntur enim & continue regibus parentes maximas vires habentes, & bene à paucis gubernati, circa quæ maxime student, hi quidem vnum tantũ ducem, hi autem regem exercituum dominum constituentes. Et auersantes regna, quando multos duces emiserunt, nihil necessariorum faciunt. Si vero oportet aliquid antiquum dicere, fertur & deos ab Ioue regie guber-

καὶ ταῦτα ἐκ τῶν ἔργων ἄν τις οὐκ ἧττον, ἢ τῶν λόγων πιστεύσειεν. τοῦτο μὲν γὰρ τὴν τῶν περσῶν δύναμιν ἅπαντες ἴσμεν τηλικαύτην τὸ μέγεθος γεγενημένην, οὐ διὰ τὴν τῶν ἀνδρῶν φρόνησιν, ἀλλ' ὅτι μᾶλλον τῶν ἄλλων τὴν βασιλείαν τιμῶσι. τοῦτο δὲ, διονύσιον τὸν τύραννον, ὃς παραλαβὼν τὴν μὲν ἄλλην σικελίαν ἀνάστατον γεγενημένην, τὴν δ' αὑτοῦ πατρίδα πολιορκουμένην, οὐ μόνον αὐτὴν παρόντων κινδύνων ἀπήλλαξεν, ἀλλὰ καὶ μεγίστην τῶν ἑλληνίδων πόλεων ἐποίησεν. ἔτι δὲ καρχηδονίους, καὶ λακεδαιμονίους, τοὺς ἄριστα τῶν ἑλλήνων πολιτευομένους, οἴκοι μὲν ὀλιγαρχουμένους, παρὰ δὲ τὸν πόλεμον βασιλευομένους. ἔχοι δ' ἄν τις ἐπιδεῖξαι καὶ τὴν πόλιν τῶν ἀθηναίων τὴν μάλιστα τὰς τυραννίδας μισοῦσαν, ὅταν μὲν πολλοὺς ἐκπέμψῃ στρατηγοὺς ἀτυχοῦσαν, ὅταν δὲ δι' ἑνὸς ποιῆται τοὺς κινδύνους, κατορθοῦσαν. καίτοι πῶς ἄν τις σαφέστερον ἐπιδείξειεν, ἢ διὰ τούτων τῶν παραδειγμάτων, πλείστου τὰς μοναρχίας ἀξίας οὔσας. φαίνονται γὰρ οἵτε διὰ τέλους τυραννούμενοι μεγίστας δυνάμεις ἔχοντες, οἵτε καλῶς ὀλιγαρχούμενοι, περὶ ἃ μάλιστα σπουδάζουσιν, οἱ μὲν ἕνα μόνον στρατηγὸν, οἱ δὲ βασιλέα τῶν στρατοπέδων κύριον καθιστάντες, οἵτε μισοῦντες τὰς τυραννίδας, ὁπόταν πολλοὺς ἄρχοντας ἐκπέμψωσιν, οὐδὲν τῶν δεόντων πράττοντες. εἰ δὲ δεῖ τι καὶ τῶν ἀρχαίων εἰπεῖν, λέγεται καὶ τοὺς θεοὺς ὑπὸ τοῦ διὸς βασι-

nari,

nari, de quibus, si quidem sermo verus est, manifestum est, quòd & illic hunc statum elegerunt. sin autem certitudinem nemo nouit, ipsi coniectantes sic de ipsis suspicati sumus. signum quòd omnes vnius gubernationem præferimus. non enim vnquam ea vti deos dixissemus, nisi multum alijs excedere ipsam putaremus. De rebus itaque publicis quantum inter se differant vniuersa quidem neque inuenire, neq; dicere possibile est: quanquam & ad præsens satis superq; & nunc dictum sit de ipsis. Vt autem conuenienter nos principatum habeamus, multo hoc concisior & magis confessus sermo est. Quis enim non nouit, quòd Teucrus quidem generis nostri princeps, assumptis aliorum ciuium progenitoribus, nauigans huc, & vrbem ipsis condidit, & regionē distribuit? pater autē Euagoras cum amisissent alij principatum, rursus recuperauit subiens maxima pericula, & res tantū cōmutauit, vt non amplius Phœnices Salaminijs imperarent, sed quorū fuit à principio, hi & nunc haberent regnum. Reliquum igitur est eorum quæ proposuerā de meipso percurrere, ut sciatis quòd talis est uobis rex, qui non solum per progenitores, sed & per seipsum, iuste & maiori honore quam tanto, dignus habeatur. Arbitror enim ego quidem omnes cōcessuros plurimo ex virtutibus dignas esse, & temperantiā & in-

λόγεσθαι

λέγεσθαι. περὶ ὧν, εἰ μὲν ὁ λόγος ἀληθής ἐστι, δῆ-
λον ὅτι κἀκεῖνοι ταύτην τὴν κατάστασιν προκεί-
νασιν. εἰ δὲ τὸ μὲν σαφὲς μηδεὶς οἶδεν, αὐτοὶ δ' εἰ-
κάζοντες οὕτω περὶ αὐτῶν ὑπειλήφαμεν, σημεῖον
ὅτι πάντες, τὴν μοναρχίαν προτιμῶμεν. οὐ γὰρ
ἄν ποτε αὐτῇ χρῆσθαι τοὺς θεοὺς ἔφαμεν, εἰ μὴ
πολὺ τῶν ἄλλων προέχειν αὐτὴν ἐνομίζομεν. περὶ
μὲν οὖν τῶν πολιτειῶν ὅσον ἀλλήλων διαφέρου-
σιν, ἅπαντα μὲν, οὔθ' εὑρεῖν οὔτ' εἰπεῖν δυνατόν
ἐστιν. οὐ μὴν ἀλλὰ πρός γε τὸ παρὸν ἐξαρκούντως,
καὶ νῦν εἴρηται περὶ αὐτῶν. ὡς δὲ προσηκόντως
ἡμεῖς τὴν ἀρχὴν ἔχομεν, πολὺ τούτου συντομώ-
τερος, καὶ μᾶλλον ὁμολογούμενος ὁ λόγος ἐστί.
τίς γὰρ οὐκ οἶδεν ὅτι τεῦκρος μὲν ὁ τοῦ γένους
ἡμῶν ἀρχηγὸς, παραλαβὼν τοὺς τῶν ἄλλων πολι-
τῶν προγόνους πλεύσας δεῦρο, καὶ πόλιν αὐτοῖς
ἔκτισε, καὶ τὴν χώραν διένειμεν; ὁ δὲ πατὴρ εὐα-
γόρας, ἀπολεσάντων ἑτέρων τὴν ἀρχὴν πάλιν
ἀνέλαβεν, ὑποστὰς τοὺς μεγίστους κινδύνους. καὶ
τοσοῦτον μετέστησεν, ὥστε μηκέτι φοίνικας σαλα-
μινίων τυραννεῖν, ἀλλ' ὧνπερ ἦν τὴν ἀρχὴν, τού-
τους καὶ νῦν ἔχειν τὴν βασιλείαν. λοιπὸν οὖν ἐστιν
ὧν προεθέμην, περὶ ἐμαυτοῦ διελθεῖν. ἵν' ἐπίστη-
σθε ὅτι τοιοῦτός ἐστιν ὑμῶν ὁ βασιλεὺς, ὃς οὐ μό-
νον διὰ τοὺς προγόνους, ἀλλὰ καὶ δι' αὑτὸν, δικαίως
ἂν καὶ μείζονος τιμῆς ἢ τηλικαύτης ἀξιωθείην. οἶμαι
γὰρ ἔγωγε πάντας ἂν ὁμολογῆσαι, πλείστου τῶν
ἀρετῶν ἀξίας, τήν τε σωφροσύνην, καὶ τὴν δι-

ſtitiā.non enim ſolū nos,victus ſecundū ipſas iuuat, ſed, ſi volumus conſiderare & naturas, & vires, & vſus rerum, inueniemus, participes quidem nullatenus harū formarū,magnorū malorum cauſas exiſtentes: cum iuſtitia vero & temperantia factas, multis vitam hominum iuuantes. Si vero aliqui progenitorum, ob has huiuſmodi virtutes approbati fuerunt, arbitror & mihi cō uenire,& eiuſdē gloriæ cū illis cōpotē eſſe. Iuſtitiam igitur inde maxime conſpicere poteſtis. Accipiēs.n.quādo in principatu conſtitutus fui, regiam quidem pecunijs vacuam, & omnia abſumpta, res autem perturbationis plenas & multa cura indigentes, & cuſtodia, & expenſa: noſcensq; alios in talibus occaſionibus omni modo ſua ipſorum dirigentes, & multa præter naturam ipſorum facere coactos, tamen neque ab vno iſtorum corruptus fui, ſed ita ſancte, & bene curam ſuſcepi rerum, vt nihil deeſſet, ex quibus poſſibile fuit augeri, & ad felicitatem increſcere ciuitatem. Nam & ad ciues cum tanta manſuetudine oblatus ſum, vt neque cædes, neque pecuniarum iacturæ, neque alia vlla talis calamitas in meo fuerit regno. Inacceſſa vero nobis Græcia cum eſſet, ob bellum geſtum, & vbique diriperemur

καιοσύνην. οὐ γὰρ μόνον ἡμᾶς τὸ καθ' αὑτὰς ὠφελοῦσιν, ἀλλ' εἰ θέλοιμεν σκοπεῖν καὶ φύσεις, καὶ τὰς δυνάμεις καὶ τὰς χρήσεις τῶν πραγμάτων, εὑρήσομεν, τὰς μὲν μετεχούσας μηδεμιᾶς τούτων τῶν ἰδεῶν, μεγάλων κακῶν αἰτίας οὔσας, τὰς δὲ μετὰ δικαιοσύνης καὶ σωφροσύνης γιγνομένας, πολλὰ τὸν βίον τῶν ἀνθρώπων ὠφελούσας. εἰ δὲ δή τινες τῶν προγεγενημένων ἐπὶ ταύταις ταῖς ἀρεταῖς εὐδοκίμησαν, ἡγοῦμαι κἀμοὶ προσήκειν καὶ τῆς αὐτῆς δόξης ἐκείνοις τυγχάνειν. τὴν μὲν οὖν δικαιοσύνην, ἐκεῖθεν ἂν μάλιστα κατίδοιτε. παραλαβὼν γὰρ, ὅτ' εἰς τὴν ἀρχὴν καθιστάμην, τὰ μὲν βασίλεια χρημάτων κενὰ, καὶ πάντα κατηναλωμένα, τὰ πράγματα δὲ ταραχῆς μεστὰ, καὶ πολλῆς ἐπιμελείας δεόμενα, καὶ φυλακῆς, καὶ δαπάνης. εἰδὼς δ' ἑτέρους ἐν τοῖς τοιούτοις καιροῖς ἐκ παντὸς τρόπου τὰ σφέτερ' αὐτῶν διορθουμένους, καὶ πολλὰ παρὰ τὴν φύσιν τὴν αὐτῶν πράττειν ἀναγκαζομένους, ὅμως οὐδ' ὑφ' ἑνὸς τούτων διεφθάρην. ἀλλ' οὕτως ὁσίως καὶ καλῶς ἐπεμελήθην τῶν πραγμάτων, ὥστε μηδὲν ἐλλείπειν ἐξ ὧν οἷόν τ' ἦν αὐξηθῆναι, καὶ πρὸς εὐδαιμονίαν ἐπιδοῦναι τὴν πόλιν. πρός τε γὰρ πολίτας μετὰ τοσαύτης πραότητος προσηνέχθην, ὥστε μήτε θανάτους, μήτε χρημάτων ἀποβολὰς, μήτε ἄλλην μηδεμίαν τοιαύτην συμφορὰν ἐπὶ τῆς ἐμῆς γεγενῆσθαι βασιλείας. ἀβάτου δ' ἡμῖν τῆς Ἑλλάδος οὔσης, διὰ τὸν πόλεμον τὸν γεγενημένον, καὶ πανταχοῦ συλουμένων

nos, plurima horũ dissolui, his quidem omnia persoluens, his aũt partes; alios autẽ differre rogãs, cũ his vero, vt potui de cõtrouersis conciliatus. Adhuc autem & insulam habitãtibus male erga nos affectis, & rege Persarum oratione quidem conciliatio, re autem vera aspere se habente; vtraq; hæc mitigaui, huic quidem prompte ministrans, erga illos autem iustum meipsum exhibens. Tantum enim absum aliena concupiscere, vt alij quidẽ, ẽt si paulo maiorẽ confinium potentiam habeãt, abscindant aliquid terræ, & plus habere quærant, ego autem neque datam mihi regionẽ dignũ duxi accipere; sed eligo cum iustitia meam tantum habere potius, quàm cum malitia multo maiorem præsenti possidere. Ac quid oportet in singulis dicẽtẽ immorari alioqui, & breuiter, habentem declarare de meipso? ostendam enim nullum quidem vnq̃ iniustitia affecisse, pluribus autem & ciuiũ & aliorum Græcorum benefecisse, & maiora dona vtrisque dedisse, quàm cuncti qui ante me regnarunt. Atque sanè oportet se gloriantes in iustitia, & simulantes pecunijs esse superiores, tales excessus habere dicere de seipsis. Ac profecto & de temperantia adhuc maiora his habeo dicere: cognoscens enim omnes homines plurimi facientes filios suos, & vxores, & maxi-

ἡμῶν,

ἡμῶν, τὰ πλεῖστα τούτων διέλυσα, τοῖς μὲν ἅπαν-
τα ἀποτίνων, τοῖς δὲ μέρη, τῶν δ' ἀναβαλέσθαι δεό-
μενος, πρὸς δὲ τοὺς ὅπως ἠδυνάμην περὶ τῶν ἐγκλημά-
των διαλλαττόμενος. ἔτι δὲ καὶ τῶν τὴν νῆσον οἰκούντων
δυσκόλως πρὸς ἡμᾶς διακειμένων, καὶ βασιλέως τῷ
μὲν λόγῳ διηλλαγμένου, τῇ δ' ἀληθείᾳ τραχέως
ἔχοντος, ἀμφότερα ταῦτα κατεπράϋνα, τῷ μὲν
προθύμως ὑπηρετῶν, πρὸς δὲ τοὺς δίκαιον ἐ-
μαυτὸν παρέχων. τοσούτου γὰρ δέω τῶν ἀλλο-
τρίων ἐπιθυμεῖν, ὥσθ' ἕτεροι μὲν, ἢν καὶ μικρῷ μείζω
τῶν ὁμόρων δύναμιν ἔχωσιν, ἀποτέμνονται τῆς
γῆς, καὶ πλεονεκτεῖν ζητοῦσιν, ἐγὼ δ' οὐδὲ τὴν
διδομένην μοι χώραν ἠξίωσα λαβεῖν, ἀλλ' αἱροῦ-
μαι μετὰ δικαιοσύνης τὴν ἐμαυτοῦ μόνην ἔχειν
μᾶλλον, ἢ μετὰ κακίας πολλαπλασίαν τῆς ὑπαρ-
χούσης κτήσασθαι. καὶ τί δεῖ καθ' ἕκαστον λέγοντα
διατρίβειν, ἄλλως τε καὶ συντόμως ἔχοντα δηλῶ-
σαι περὶ ἐμαυτοῦ; φανήσομαι γὰρ μηδένα μὲν
πώποτ' ἀδικήσας, πλείους δὲ καὶ τῶν πολιτῶν
καὶ τῶν ἄλλων Ἑλλήνων, εὖ πεποιηκὼς, καὶ μείζους
δωρεὰς ἑκατέροις δεδωκὼς, ἢ σύμπαντες οἱ
πρὸ ἐμοῦ βασιλεύσαντες. καί τοι χρὴ τοὺς μέγα
φρονοῦντας ἐπὶ δικαιοσύνῃ, καὶ προσποιουμένους
χρημάτων εἶναι κρείττους, τοιαύτας ὑπερβολὰς ἔχειν
εἰπεῖν περὶ αὐτῶν. καὶ μὲν δὴ καὶ περὶ σωφροσύ-
νης ἔτι μείζω τούτων ἔχω διελθεῖν. εἰδὼς γὰρ ἅπαν-
τας ἀνθρώπους περὶ πλείστου ποιουμένους τοὺς
παῖδας τοὺς ἑαυτῶν, καὶ τὰς γυναῖκας, καὶ μά-

me indignantes in hæc peccantibus; & iniuriam circa hæc maximorum malorum causam esse; & multos iam priuatorum & potentum propter eam destructos: sic effugi culpas tales, vt ex quo regnum suscepi, nulli videar corpori adhæsisse, nisi meæ vxoris: non ignorans, vt & illi ab alijs approbentur, qui circa quidem res ciuium iusti sunt existentes, aliunde aūt vndecunque sibiipsis conquisiuerunt voluptates: sed volens simul quidem meipsum quam longissime facere à talibus suspicionibus, simul vero exemplū constituere morem meum alijs ciuibus: noscens quòd amat multitudo in his studijs vitam traducere, in quibus principes suos vident versari. Deinde enim conuenire duxi, tanto reges meliores esse priuatis, quanto & honores maiores ipsis habent: Et grauia facere, qui alios quidem ornate viuere cogunt, ipsi vero se non modestiores subditis exhibent. Ad hæc, aliarum quidem actionum videbam continentes & multos factos, à cupiditatibus autem circa liberos & mulieres, etiam optimos victos. volui igitur in his me ostendere continere valentem, in quibus debebam non solum alios excellere

λιστα ὀργιζομένους τοῖς εἰς ταῦτα ἐξαμαρτάνουσι, καὶ τὴν ὕβριν, τὴν περὶ ταῦτα μεγίστων κακῶν αἰτίαν γιγνομένην, καὶ πολλοὺς ἤδη τῶν ἰδιωτῶν, καὶ τῶν δυναστευόντων διὰ ταύτην ἀπολλυμένους, οὕτως ἔφυγον τὰς αἰτίας ταύτας, ὥστε ἐξ οὗ τὴν βασιλείαν ἔλαβον, οὐδενὶ φανήσομαι σώματι πεπλησιακώς, πλὴν τῆς ἐμαυτοῦ γυναικός. οὐκ ἀγνοῶν ὡς κἀκεῖνοι παρὰ τοῖς πολλοῖς εὐδοκιμοῦσιν, ὅσοι περὶ μὲν τὰ τῶν πολιτῶν δίκαιοι τυγχάνουσιν ὄντες, ἄλλοθεν δέ ποθεν ἑαυτοῖς ἐπορίσαντο τὰς ἡδονάς. ἀλλὰ βουλόμενος ἅμα μὲν ἐμαυτὸν ὡς πορρωτάτω ποιῆσαι τῶν τοιούτων ὑποψιῶν, ἅμα δὲ παράδειγμα καταστῆσαι τὸν τρόπον τὸν ἐμαυτοῦ τοῖς ἄλλοις πολίταις, γιγνώσκων ὅτι φιλεῖ τὸ πλῆθος ἐν τούτοις τοῖς ἐπιτηδεύμασι τὸν βίον διάγειν, ἐν οἷς ἂν τοὺς ἄρχοντας τοὺς ἑαυτῶν ὁρῶσι διατρίβοντας. ἔπειτα καὶ προσήκειν ἡγησάμην τοσούτῳ τοὺς βασιλέας βελτίους εἶναι τῶν ἰδιωτῶν, ὅσῳπερ καὶ τὰς τιμὰς μείζους αὐτῶν ἔχουσι, καὶ δεινὰ ποιεῖν ὅσοι τοὺς μὲν ἄλλους κοσμίως ζῆν ἀναγκάζουσιν, αὐτοὶ δ' αὑτοὺς μὴ σωφρονεστέρους τῶν ἀρχομένων παρέχουσι. πρὸς δὲ τούτοις, τῶν μὲν ἄλλων πράξεων ἑώρων ἐγκρατεῖς καὶ τοὺς πολλοὺς γιγνομένους, τῶν δὲ ἐπιθυμιῶν τῶν περὶ τοὺς παῖδας καὶ τὰς γυναῖκας, καὶ τοὺς βελτίστους ἡττωμένους. ἠβουλήθην οὖν ἐν τούτοις ἐμαυτὸν ἐπιδεῖξαι καρτερεῖν δυνάμενον, ἐν οἷς ἔμελλον οὐ μόνον τῶν ἄλλων διοίσειν,

sed & in virtute se venditantes. Adhuc autem & talium multam malitiam condemnabam quicunq; vxorē capientes, & societatē facientes totius vitæ, non amant quibus promiserunt, sed suis voluptatibus contristant eas, à quibus ipsi non dignū putāt cōtristari. Ac circa alias quidē societates quasdā æquos se ipsos præbent, in societate vero erga vxores peccant: quas oportebat tanto magis conseruare, quanto familiares, & maiores existentes sunt alijs. Postea & latent intus in ipsis regijs, seditiones, & altercationes illis ipsis relinquentes. Et sanè oportet rectè regnantes non solum ciuitates in concordia eniti degere, quibus imperant, verum & proprias domos, & loca in quibus habitant. Omnia enim hæc temperantiæ opera & iustitiæ sunt. Non eandem aūt sententiam habui neque de procreatione filiorum plurimis regibus: neq; duxi conuenire alios quidē ex humiliori creare liberos, alios autem ex honestiori, neq; hos quidem nothos, hos autem legitimos relinquere, sed omnes habere eandem naturam, & à patre, & à matre referre, mortalium quidem in Euagoram patrem meum, Heroum autem in Aeacidas, deorum vero in Iouem, & neminem ex me genitum priuatum esse hac nobilitate. Multis autem me hortanti.

ἀλλὰ καὶ τῶν ἐπ' ἀρετῇ μέγα φρονούντων. ἔτι δὲ καὶ τῶν ἰδιωτῶν πολλὴν κακίαν κατεγίγνωσκον, ὅσοι γυναῖκας λαβόντες, καὶ κοινωνίαν ποιησάμενοι παντὸς τοῦ βίου μὴ στέργουσιν οἷς ἔπραξαν, ἀλλὰ ταῖς ἑαυτῶν ἡδοναῖς λυποῦσι ταύτας ὑφ' ὧν αὐτὸ μηδὲν ἀξιοῦσι λυπεῖσθαι. καὶ περὶ μὲν ἄλλας κοινωνίας τινὰς, ἐπιεικεῖς σφᾶς αὐτοὺς παρέχουσιν· ἐν δὲ ταῖς πρὸς τὰς γυναῖκας ἐξαμαρτάνουσιν, ἃς ἔδει τοσούτῳ μᾶλλον διαφυλάττειν, ὅσῳπερ οἰκειότεραι καὶ μείζους οὖσαι τυγχάνουσι τῶν ἄλλων. εἶτα καὶ λανθάνουσιν ἔνδον ἐν αὐτοῖς τοῖς βασιλείοις στάσεις καὶ διαφορὰς ἑαυτοῖς ἐγκαταλείποντες. καί τοι χρὴ τοὺς ὀρθῶς βασιλεύοντας, μὴ μόνον τὰς πόλεις ἐν ὁμονοίᾳ πειρᾶσθαι διάγειν, ὧν ἂν ἄρχωσιν, ἀλλὰ καὶ τοὺς ἰδίους οἴκους καὶ τοὺς τόπους, ἐν οἷς ἂν κατοικῶσιν. ἅπαντα γὰρ ταῦτα, σωφροσύνης ἔργα καὶ δικαιοσύνης ἐστίν. οὐ τὴν αὐτὴν δὲ γνώμην ἔσχον οὐδὲ περὶ τῆς παιδοποιίας τοῖς πλείστοις τῶν βασιλέων. οὐδ' ᾠήθην δεῖν τοὺς μὲν ἐκ ταπεινοτέρας ποιήσασθαι τῶν παίδων, τοὺς δ' ἐκ σεμνοτέρας· οὐδὲ τοὺς μὲν νόθους αὐτῶν, τοὺς δὲ γνησίους καταλιπεῖν, ἀλλὰ πάντας ἔχειν τὴν αὐτὴν φύσιν, καὶ πρὸς πατρὸς καὶ πρὸς μητρὸς ἀνενεγκεῖν, τῶν μὲν θνητῶν εἰς Εὐαγόραν, τὸν πατέρα τὸν ἐμόν, τῶν δ' ἡμιθέων εἰς Αἰακίδας, τῶν δὲ θεῶν, εἰς Δία, καὶ μηδένα τῶν ἐξ ἐμοῦ γενομένων ἀποστερηθῆναι ταύτης τῆς εὐγενείας. πολλῶν δέ με προτρεπόν-

bus manere in studijs istis, non minimum me & illud prouocauit quòd fortitudinis & calliditatis, & aliorum quæ approbantur, videbam & malorum hominum multos participes; temperantiam vero & iustitiam proprias possessiones bonorũ & proborum esse. Pulcherrimũ igitur suspicatus sũ, siqs posset his virtutibus adhibere mentem, alia dimittens quorum nulla pars malis adest: sed & legitimæ, & firmissimæ, & maximæ, & maximarum laudum dignæ sunt existentes. Horum causa hæc meditatus impensius alijs exercui temperantiam & iustitiam. Et has elegi voluptates, non, in operibus nullum honorem habentes, sed, in opinionibus quæ per strenuitatem fiunt existentes. Oportet autem experiri virtutes non in eisdem formis omnes, sed iustitiam quidem in indigentijs: temperantiam autem in potentatibus: tolerantiam vero in iuniorum ætatibus. Ego igitur in omnibus occasionibus videbor istis experientiam meæ ipsius naturæ dedisse. Indigens etenim pecuniarum relictus, ita iustum me ipsum præbui, vt neminem tristitia affecerim ciuium, Accipiens autem potestatem vt facerem quod vellem, modestior priuatis fui. His autem vtrisque præstiti, hanc habens æta-

τῶν ἐμμένειν τοῖς ἐπιτηδεύμασι τούτοις, οὐχ ἥκιστά με κἀκεῖνο παρεκάλεσεν, ὅτι τῆς μὲν ἀνδρίας καὶ τῆς δεινότητος, καὶ τῶν ἄλλων τῶν εὐδοκιμούντων, ἑώρων καὶ τῶν κακῶν ἀνδρῶν πολλοὺς μετέχοντας, τὴν δὲ σωφροσύνην καὶ τὴν δικαιοσύνην, ἴδια κτήματα τῶν καλῶν κἀγαθῶν ὄντα. κάλλιστον οὖν ὑπέλαβον, εἴ τις δύναιτο ταύταις ταῖς ἀρεταῖς προσέχειν τὸν νοῦν, τῶν ἄλλων ἀφελόμενος, ὧν μηδὲν μέρος τοῖς πονηροῖς μετέστιν, ἀλλὰ καὶ γνησιώταται καὶ βεβαιόταται, καὶ μέγισται, καὶ μεγίστων ἐπαίνων ἄξιαι τυγχάνουσιν οὖσαι. τούτων ἕνεκα ταῦτα διανοηθεὶς, περιττότερον τῶν ἄλλων ἤσκησα τὴν σωφροσύνην, καὶ τὴν δικαιοσύνην. καὶ ταύτας προειλόμην τῶν ἡδονῶν, οὐ τὰς ἐπὶ τοῖς ἔργοις μηδεμίαν τιμὴν ἐχούσας, ἀλλὰ τὰς ἐπὶ ταῖς δόξαις ταῖς δι᾽ ἀνδραγαθίαν γιγνομένας: χρὴ δὲ δοκιμάζειν τὰς ἀρετὰς οὐκ ἐν ταῖς αὐταῖς ἰδέαις ἁπάσας, ἀλλὰ τὴν μὲν δικαιοσύνην, ἐν ταῖς ἀπορίαις, τὴν δὲ σωφροσύνην ἐν ταῖς δυναστείαις, τὴν δὲ καρτερίαν, ἐν ταῖς τῶν νεωτέρων ἡλικίαις. ἐγὼ τοίνυν ἐν ἅπασι τοῖς καιροῖς τούτοις φανήσομαι πεῖραν τῆς ἐμαυτοῦ φύσεως δεδωκώς. ἐνδεὴς μὲν γὰρ χρημάτων καταλειφθεὶς, οὕτω δίκαιον ἐμαυτὸν παρέσχον, ὥστε μηδένα λυπῆσαι τῶν πολιτῶν. λαβὼν δ᾽ ἐξουσίαν ὥστε ποιεῖν, ὅ τι ἂν βούλωμαι, σωφρονέστερος τῶν ἰδιωτῶν ἐγενόμην. τούτων δ᾽ ἀμφοτέρων ἐκράτησα, ταύτην ἔχων τὴν ἡλι-

tem, in qua plurimos inuenimus maxime circa actiones delinquentes. Ac omnia hæc inter alios qdē forte cūctarer dicere, nō tanq̄ non glorians in his quæ feci, verum tanquam non consecutus fidem ex dictis. vos autem ipsi mihi testes estis omnium dictorum. Dignum est igitur & natura ornatos existentes laudare atq; admirari, adhuc autem magis cum ratione tales existentes. Qui enim fortuna & nō consilio tēperati sunt, cōtingit & mutare propositū: q̄ vero ad naturam addunt vt ēt cognoscant ꝙ maximum est bonorū virtus, manifestū, ꝙ per omnem vitam in hoc ordine permanent. Ob hoc autem plura feci verba, & de me ipso, & de alijs antedictis, vt nullam relinquam excusationē quin oporteat facere vos libentes, & prompte quæcunq; ego iubebo & consulam. Aio quippe facere singulos vestrum in quibus præest, diligenter, & iuste: vtro.n. modo deficiatis in aliquo horum, necesse est hac rōne male se habere operationēs: nullum igitur paruipendite neque contemnite mandatum, cogitantes, vt non præter hæc est, sed, vt ad singulas partium, vel bene, vel male se habebit totum, sic soliciti esse de ipsis. Et curate non minus mea, quàm vestra ipsorum, & non existimate paruum bonum esse honores quos habent, qui bene vestrum præ-

κίαν, ἐν ᾗ τοὺς πλείστους ἂν εὕροιμεν μάλιστα περὶ τὰς πράξεις ἐξαμαρτάνοντας. καὶ πάντα ταῦτα ἐν ἑτέροις μὲν ἴσως ἂν ὤκνουν εἰπεῖν, οὐχ ὡς οὐ φιλοτιμούμενος ἐπὶ τοῖς πεπραγμένοις, ἀλλ᾽ ὡς οὐκ ἂν πιστευθεὶς ἐκ τῶν λεγομένων, ὑμεῖς δ᾽ αὐτοί μοι μάρτυρές ἐστε πάντων τῶν εἰρημένων. ἄξιον μὲν οὖν καὶ τοὺς φύσει κοσμίους ὄντας ἐπαινεῖν καὶ θαυμάζειν, ἔτι δὲ μᾶλλον τοὺς καὶ μετὰ λογισμοῦ τοιούτους ὄντας. οἱ μὲν γὰρ τύχῃ, καὶ μὴ γνώμῃ σωφρονοῦντες, τυχὸν ἂν καὶ μεταπεισθεῖεν, οἱ δὲ πρὸς τῷ πεφυκέναι, καὶ διεγνωκότες ὅτι μέγιστον ἐστὶ τῶν ἀγαθῶν ἀρετή, δῆλον ὅτι πάντα τὸν βίον ἐν ταύτῃ τῇ τάξει διαμένουσι. διὰ τοῦτο δὲ πλείους ἐποιησάμην τοὺς λόγους, καὶ περὶ ἐμαυτοῦ, καὶ περὶ τῶν ἄλλων τῶν προειρημένων, ἵνα μηδεμίαν ὑπολίπω πρόφασιν, ὡς οὐ δεῖ ποιεῖν ἡμᾶς ἑκόντας, καὶ προθύμως, ἅττ᾽ ἂν ἐγὼ προστάξω, καὶ συμβουλεύσω. φημὶ δὴ πράττειν ἕκαστον ὑμῶν, ἐφ᾽ οἷς ἐφέστηκεν ἐπιμελῶς καὶ δικαίως. καθ᾽ ὁπότερον γὰρ ἂν ἐλλίπητέ τι τούτων, ἀνάγκη ταύτῃ κακῶς ἔχειν τὰς πράξεις. μηδενὸς οὖν ὀλιγωρεῖτε, μηδὲ καταφρονεῖτε τῶν προστεταγμένων, ὑπολαμβάνοντες ὡς οὐ παρὰ ταῦτ᾽ ἐστίν, ἀλλ᾽ ὡς παρ᾽ ἕκαστον τῶν μερῶν, ἢ καλῶς ἢ κακῶς ἕξον τὸ σύμπαν, οὕτω σπουδάζετε περὶ αὐτῶν, καὶ κήδεσθε μηδὲν ἧττον τῶν ἐμῶν, ἢ τῶν ὑμετέρων αὐτῶν, καὶ μὴ νομίζετε μικρὸν ἀγαθὸν εἶναι τὰς τιμάς, ἃς ἔχουσιν οἱ καλῶς τῶν ὑμετέρων ἐπι-

sident.

ſident. Abſtinere ab alienis, vt ſcuriores domos veſtras ipſorum poſſideatis. Tales eſſe oportet circa alios, vos, qualem me circa vos dignum putaris eſſe. Ne feſtinetis diteſcere plus quàm boni uideri eſſe, noſcentes quòd & Græcorum & barbarorum maximã in virtute gloriam habentes, plurimorũ bonorum domini conſtituuntur. Quæſtus præter iuſtum factos exiſtimate non diuitias, ſed periculum facturos. Ne accipere quidẽ lucrum eſſe putetis, expendere uero damnũ, neutrum enim horum ſemper eandem habet uim, ſed utrunque ſi in tempore, & cum uirtute fiat, hoc adiuuat facientes. Neque ad vnum moleſte vos habeatis à me iuſſorum. qui enim veſtrum circa plurima mea utiles ſeſe exhibuerunt, hi plurimum domos ſuas iuuabunt. Cuius veſtrum quiſque ipſe ſibi fuerit conſcius, putet neque me latere, ſed etiam ſi corpus meum non adſit, tamen mentem meam ſciat factis aſtare. hanc enim opinionem habentes temperantius deliberabitis de ipſis. Nihil occultare, neq; eorum quæ acquiſiuiſtis, neq; eorum quæ facitis, nec quæ facturi eſtis. ſcientes quòd de occultis rebus neceſſe eſt multos timores eſſe. Ne artificioſe quærite verſari inter ciues, neque obſcure, ſed ita ſimpliciter &

στατοῦντες. ἀπέχεσθε τῶν ἀλλοτρίων, ἵνα ἀσφαλέστερον τοὺς οἴκους τοὺς ὑμετέρους αὐτῶν κέκτησθε. τοιούτους εἶναι χρὴ περὶ τοὺς ἄλλους ὑμᾶς, οἷον περ ἐμὲ περὶ ὑμᾶς ἀξιοῦσθε γίγνεσθαι. μὴ σπουδάζετε πλουτεῖν μᾶλλον ἢ χρηστοὶ δοκεῖν εἶναι, γιγνώσκοντες, ὅτι καὶ τῶν ἑλλήνων καὶ τῶν βαρβάρων, οἱ μεγίστας ἐπ' ἀρετῇ δόξας ἔχοντες, πλείστων ἀγαθῶν δεσπόται καθίστανται. τοὺς χρηματισμοὺς τοὺς παρὰ τὸ δίκαιον γιγνομένους ἡγεῖσθε μὴ πλοῦτον, ἀλλὰ κίνδυνον ποιήσειν. μὴ τὸ μὲν λαβεῖν, κέρδος εἶναι νομίζετε, τὸ δ' ἀναλῶσαι ζημίαν, οὐδέτερον γὰρ τούτων ἀεὶ τὴν αὐτὴν ἔχει δύναμιν. ἀλλ' ὁπότερον ἂν ἐν καιρῷ καὶ μετ' ἀρετῆς γίγνηται, τοῦτ' ὠφελέσει τοὺς ποιοῦντας. μὴ δὲ πρὸς ἓν χαλεπῶς ἔχετε τῶν ὑπ' ἐμοῦ προσταττομένων. ὅσοι γὰρ ἂν ὑμῶν περὶ πλεῖστα τῶν ἐμῶν χρησίμους αὐτοὺς παράσχωσιν, οὗτοι πλεῖστα τοὺς οἴκους τοὺς ἑαυτῶν ὠφελήσουσιν. ὅ, τι ἂν ὑμῶν ἕκαστον αὐτὸς αὑτῷ τύχῃ συνειδὼς, ἡγείσθω μὴ δὲ ἐμὲ λήσειν. ἀλλ' ἐὰν καὶ τὸ σῶμα τοὐμὸν μὴ παρῇ, τὴν γε διάνοιαν τὴν ἐμὴν οἰέσθω τοῖς γιγνομένοις παρεστάναι. ταύτην γὰρ τὴν γνώμην ἔχοντες, σωφρονέστερον ἂν βουλεύσαισθε περὶ αὑτῶν. μηδὲν ἀποκρύπτεσθε, μήθ' ὧν κέκτησθε, μήθ' ὧν ποιεῖτε, μήθ' ὧν μέλλοιτε πράττειν, εἰδότες ὅτι περὶ τὰ κεκρυμμένα τῶν πραγμάτων, ἀναγκαῖόν ἐστι πλείους φόβους γίγνεσθαι, μὴ τεχνικῶς ζητεῖτε πολιτεύεσθαι, μὴ δ' ἀφανῶς, ἀλλ' οὕτως ἁπλῶς καὶ

aperte,

aperte, vt neque siquis velit, facile sit vos calumniari. Experimini actiones, & putate malas quidem, quas facientes me vultis latere. bonas autem de quibus ego si audiero, sum meliores vos putaturus. Ne reticeatis, siquos videtis circa principatum meum malos existentes: sed reprendite, & arbitremini eodem esse damno dignos qui contegunt, quo peccantes. Felices autem putate non latentes siquid malum fecerint, verum nihil delinquentes. Illos enim decet talia pati, qualia ipsi faciunt, hos autem gratiam suscipere qua digni sunt existentes. Sodalitates ne facite, neque conuentus sine mea sententia. nam tales congregationes in reliquis quidem rebus pu. proficiunt, in principatu autem vnius periclitantur. Non solum abstinete à vitijs sed etiam à studijs talibus in quibus necesse est suspitionem esse. Meam amicitiam securissimam & firmissimam existimate, & conseruate præsentem statum, & nullam concupiscite mutationem, noscentes, quòd ob tales turbulentias necesse est & ciuitates destrui, & domicilia priuata vacua fieri. Non solum naturas, causas putate, quòd difficiles aut mites sint reges, verum etiam morem ciuium. multi enim iam ob subditorum malignitatem

φανε-

τραχύτερον ἢ κατὰ τὴν ἑαυτῶν γνώμην, ἄρχειν ἠναγκάσθησαν. θαῤῥεῖτε μὴ διὰ τὴν ἐμὴν μᾶλλον πρᾳότητα, ἢ διὰ τὴν ὑμετέραν αὐτῶν ἀρετήν. τὴν ἐμὴν ἀσφάλειαν ἄδειαν ἑαυτοῖς εἶναι νομίζετε. καλῶς γὰρ τῶν περὶ ἐμὲ καθεστώτων, τὸν αὐτὸν τρόπον καὶ τὰ περὶ ὑμᾶς αὐτοὺς ἕξει. ταπεινοὺς μὲν εἶναι χρὴ πρὸς τὴν ἀρχὴν τὴν ἐμήν, ἐμμένοντας τοῖς ἤθεσι, καὶ διαφυλάττοντας τοὺς νόμους τοὺς βασιλικούς, λαμπροὺς δ' ἔν τε ταῖς ὑπὲρ τῆς πόλεως λειτουργίαις, καὶ τοῖς ὑπ' ἐμοῦ προσταττομένοις. προτρέπετε τοὺς νεωτέρους ἐπ' ἀρετὴν μὴ μόνον παραινοῦντες, ἀλλὰ καὶ περὶ τὰς πράξεις ὑποδεικνύντες αὐτοῖς, οἵους εἶναι χρὴ τοὺς ἄνδρας τοὺς ἀγαθούς. διδάσκετε τοὺς παῖδας τοὺς ὑμετέρους αὐτῶν βασιλεύεσθαι. καὶ περὶ τὴν παίδευσιν τὴν τοιαύτην ἐθίζετε αὐτοὺς ὡς μάλιστα διατρίβειν. ἐὰν γὰρ ἄρχεσθαι μάθωσι, πολλῶν μᾶλλον ἄρχειν δυνήσονται. καὶ πιστοὶ μὲν ὄντες καὶ δίκαιοι μεθέξουσι τῶν ἡμετέρων ἀγαθῶν, κακοὶ δὲ γενόμενοι, κινδυνεύσουσι περὶ τῶν ὑπαρχόντων. μέγιστον ἡγεῖσθε τοῖς παισὶ καὶ βεβαιότατον πλοῦτον παραδώσειν, ἐὰν αὐτοῖς δύνησθε τὴν ἡμετέραν εὔνοιαν καταλιπεῖν. ἀθλιωτάτους ἡγεῖσθε καὶ δυστυχεστάτους ὅσοι περὶ τοὺς πιστεύσαντας ἄπιστοι γεγόνασιν. ἀνάγκη γὰρ τοὺς τοιούτους ἀθύμως ἔχοντας καὶ φοβουμένους ἅπαντας, καὶ μηδὲν μᾶλλον πιστεύοντας τοῖς φίλοις, ἢ τοῖς ἐχθροῖς τὸν ἐπίλοιπον χρόνον διάγειν. ζηλοῦτε μὴ τοὺς πλεῖ-

ma acquirenter, sed nullius mali sibi-ipsis conscios, cum tali enim anima lætius quispiam vitam poterit degere. Ne malitiam posse quidem plus virtute prodesse putetis, nomen autem molestius habere; sed qualia nomina singula rerum sortita sunt, tales existimate & vires ipsorum esse. Ne inuideatis his qui apud me primi sunt, sed cõtendite & experimini bonos vos ipsos pbẽtes, æquare excellẽtibus. Amare arbitramini oportere & honorare, quoscunque & rex, vt & à me consequamini eadem. Qualia præsente me dicitis, talia & absente sapite. Beneuolentiam erga nos in operibus ostendite magis quàm verbis. Quæ patientes ab alijs irascimini, ea alijs ne facite. Quæ in sermonibus accusatis, nihil eorum in operibus exercete. Talia expectate facturum, qualia de nobis cogitatis. Non solum laudate bonos, sed etiam imitamini. Sermones meos leges esse putetis, & conamini in eis manere, scientes quòd maxime facientibus vobis quæ volo, his licebit viuere vt ipsi volunt. Caput autem dictorum, quales vobis subditos existimatis oportere erga vos esse, tales oportet erga principatum meum vos esse. & ea si feceritis, quid oportet de euenturis diutius loqui? si enim ego exhi-

σα κεκτημένους, ἀλλὰ τοῦ μηδὲν κακὸν σφίσιν αὐτοῖς συνειδότας. μετὰ γὰρ τοιαύτης ψυχῆς ἥδιον ἄν τις τὸν βίον δύναιτο διάγειν. μὴ τὴν κακίαν δύνασθαι μὲν πλέον τῆς ἀρετῆς ὠφελεῖν νομίζετε, τὸ δ᾽ ὄνομα δυσχερέστερον ἔχειν. ἀλλ᾽ οἵωνπερ ὀνομάτων ἕκαστα τῶν πραγμάτων τετύχηκε, τοιαύτας ἡγεῖσθε καὶ τὰς δυνάμεις αὐτῶν εἶναι. μὴ φθονεῖτε τοῖς παρ᾽ ἐμοῦ πρωτεύουσιν, ἀλλὰ ἁμιλλᾶσθε καὶ πειρᾶσθε χρηστοὺς ὑμᾶς αὐτοὺς παρέχοντας ἐξισοῦσθαι τοῖς προέχουσι. φιλεῖν οἴεσθε δεῖν καὶ τιμᾶν, ὥσπερ ἂν καὶ ὁ βασιλεύς, ἵνα καὶ παρ᾽ ἐμοῦ τυγχάνητε τῶν αὐτῶν τούτων. οἷάπερ παρόντος ἐμοῦ λέγετε, τοιαῦτα καὶ ἀπόντος φρονεῖτε. τὴν εὔνοιαν τὴν πρὸς ἡμᾶς, ἐν τοῖς ἔργοις ἐνδείκνυσθε μᾶλλον, ἢ τοῖς λόγοις. ἃ πάσχοντες ὑφ᾽ ἑτέρων ὀργίζεσθε, ταῦτα τοῖς ἄλλοις μὴ ποιεῖτε. ὧν ἂν ἐν τοῖς λόγοις κατηγορῆτε, μηδὲν τούτων ἐν τοῖς ἔργοις ἐπιτηδεύετε. τοιαῦτα προσδοκᾶτε πράξειν, οἷα ἂν περὶ ἡμῶν διανοῆσθε. μὴ μόνον ἐπαινεῖτε τοὺς ἀγαθούς, ἀλλὰ καὶ μιμεῖσθε. τοὺς λόγους τοὺς ἐμοὺς νόμους τοὺς νομίζετε, καὶ πειρᾶσθε τούτοις ἐμμένειν· εἰδότες ὅτι τοῖς μάλιστα ποιοῦσιν ὑμῶν ἃ βούλομαι, τούτοις ἐξέσται ζῆν, ὡς αὐτοὶ βούλονται. κεφάλαιον δὲ τῶν εἰρημένων, οἵους περ ἂν τοὺς ὑφ᾽ ὑμῶν ἀρχομένους οἴεσθε δεῖν περὶ ὑμᾶς εἶναι, τοιούτους χρὴ περὶ τὴν ἀρχὴν τὴν ἐμὴν ὑμᾶς γίγνεσθαι. καὶ ταῦτ᾽ ἐὰν ποιῆτε, τί δεῖ περὶ τῶν συμβησομένων μακρολογεῖν; ἢν γὰρ ἐγώ τε παρέ-

beo meipsum qualem in præterito tempore, & à vobis similiter subministratū fuerit, celeriter videbitis, & victū vestrum ipsorum auctum, & principatum meum adauctum, & ciuitatem felicem factam. Dignum est igitur, tantorum bonorum causa nihil deficere, sed labores & pericula quæcunque sufferre. vobis quippe licet, nulla in re miseris fore, sed fidelibus tantum & iustis existentibus, vniuersa hæc peragere.

X⁶⁰

